Τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπὶ τῇ τοῦ γένους ἡμῶν ἀνορθώσει πρὸς ἡμᾶς ἐκδημήσαντος, ἦν κατὰ τὴν τοῦ προφήτου φωνὴν πλῆθος εἰρήνης ἐπὶ τῆς γῆς, καὶ τὸ πολύαρχον διεσκέδαστο, ὥσπερ ὑπὸ μιᾶς ζώνης τῆς Ῥωμαίων ἀρχῆς ἁπάσης διαζωσθείσης τῆς οἰκουμένης· καὶ ὑφ' ἑνὶ ταττομένης σημάντορι. καὶ διὰ τοῦτο πᾶσαι πάντων καὶ πρὸς πάντας ἐπιμιξίαι ἐγίνοντο ἀδεῶς, καὶ οὐ μεμερισμένως τὴν γῆν οἰκεῖν ἐδόκουν οἱ ἄνθρωποι, ἀλλ' ὡς ἑνὸς δεσπότου κτῆμα τυγχάνουσαν, ὡς καὶ ἑνὸς τὴν πᾶσαν οὖσαν δημιουργοῦ, τῷ πρώτῳ τὸν αὐχένα δούλῳ ὑποκλίναντες, πρὸς ἀλλήλους εἰρήνευσαν. διὸ καὶ ὁ τῆς Ἐδέσσης τὸ τηνικαῦτα τοπάρχης Αὔγαρος, τῷ τῆς Αἰγύπτου ἐξηγουμένῳ, φίλος καὶ γνώριμος ἦν, καὶ παρ' ἀλλήλους οἱ ἑκατέρων ἐφοίτων διάκονοι. Ὅθεν καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον καθ' ὃν ὁ Κύριος ἡμῶν καὶ Θεὸς τὸ πατρικὸν βούλημα πληρῶν τὴν σωτή-

Cum Dominus & Deus ac Saluator noster Iesus Christus, ad genus nostrum erigendum ad nos venisset, erat, iuxta Prophetæ vocem, *Abundantia pacis in terra*, dissipatusque erat plurium principatus, cùm Imperium Romanum totum latè orbem velut zona vna constringeret, vnusque Gubernator ac Rector subjecta quæque teneret. Ideo erat omnium vicissim libera congressio, sicque homines sibi terram colere videbantur, vt non diuisè, sed tanquam vnius rem Domini ac possessionem colerent, quippe cùm etiam vno ipso auctore condita esset; primoque seruorum ceruicem inclinantes, inter se pacem agitabant. Quamobrem etiam Edessæ id temporis Regulus Augarus, cùm Ægypti Prætori amicus notusque esset, eorum vtrinque ministri confluebant. Quocirca etiam, quo tempore Dominus noster ac Deus Paternam implens voluntatem, salutarem hominibus proponebat doctrinam, eximiisque ac stupendis miraculis in

Ps. 71 v. 7.

Romani imperij vna potentia Christianitatis exordiis vtilis.

suam fidem hominum corda cogebat, accidit vt Augari ministrorum quidam Ananias nomine, dum in Ægyptum per Palæstinam iter habet, in Christum incideret, eumque eminus doctrinæ vi ab errore turbas reuocantem, ac insolita omnique fide maiora miracula patrantem, cōspiceret. Postquam ergo iter in Ægyptum confecerat, iisque perfunctus, quæ in mandatis acceperat, ad herum reuertebatur; cùm longa eum morbi articulari tabe dire excruciari, ac nigra lepra absumi intellexisset; duplicique affligi calamitate, seu potius multiplici ægritudine diuexari, quod & articulorum doloribus teneretur, & lepræ malis miserabilem vitam ageret: Accedebat & deformitatis pudor, cuius gratia ne vix quidem se in conspectum dabat: ac nedum lecto plerunq; affixus desidebat, sed & inuisentibus amicis præsentiam sui studiò subducebat. Idcirco rursus cùm esset reuersurus, maiori rem diligentia exquirit, quò certius hero nuntiet, ne & ille eius fortè curari medicinâ valeat. In iisdem igitur rursus Dominum offendit; nempe mortuos suscitantem; cæcos, lucis vsurâ donantem; claudis, præstantem vt rectà incederent; omnes denique quauis laborantes ægritudine, ad sanitatem roburque traducentem.

Augari morbus duplex: Ananiæ ministri in herum pia officia.

ριον διδασκαλίαν τοῖς ἀνθρώποις προὐτίθετο, καὶ διὰ τῶν ὑπερφυῶν καὶ παραδόξων θαυμάτων εἰς τὴν περὶ αὐτὸν πίστιν τοὺς ἀνθρώπους ἐπέσπευσε, συνέβη τῶν τοῦ Αὐγάρου ὑπηρετῶν τινὰ Ἀνανίαν ὀνομαζόμενον περὶ τὴν Αἴγυπτον διὰ τῆς Παλαιστίνης ἰόντα, περιτυχεῖν, καὶ πόρρωθεν θεάσασθαι τὸν Χριστὸν, τὰ πλήθη τοῖς λόγοις τῆς πλάνης ἀνέχοντα, καὶ τὰ τῶν θαυμάτων ἐπιτελοῦντα παράδοξα. ὡς οὖν τὴν εἰς Αἴγυπτον πορείαν διήνυσε, καὶ περὶ ὧν ἐπεπίστευτο διηγήσατο, ἀνθυπέστρεφεν ἐπὶ τὸν κύριον αὐτοῦ, καὶ ἀρθρίτιδι χρονίᾳ τυραννούμενον ᾔδει, καὶ μελαίνῃ λέπρᾳ καταδαπανώμενον, καὶ διπλῆν συμφορὰν, μᾶλλον δὲ πολλαπλῆν τὴν νόσον πονούμενον, οἷς καὶ τῶν ἀπὸ τῶν ἄρθρων ὀδύναις συνείχετο, καὶ τοῖς τῆς λέπρας ἐταλαιπώρει κακοῖς. προσῆν δὲ καὶ ἡ τῆς ἀμορφίας αἰσχύνη, δι' ἣν οὐδὲ θεατὸς τοῖς ἀνθρώποις σχεδὸν ἦν· ἀλλ' οὐ μόνον κλινήρης τὰ πολλὰ διετέλει, ἀλλὰ καὶ τοὺς ἐπισκέψεσθαι ἐρχομένους τῶν φίλων ὑπ' αἰσχύνης ἐναπεκρύπτετο. διὰ τοῦτο πάλιν ἐν τῷ ὑποστρέφειν, ἀκριβέστερον περὶ τῆς αὐτῆς διαγνῶναι ἐσπούδασεν, ἵν' ἔχοι βεβαίως ἀπαγγεῖλαι τῷ κυρίῳ αὐτοῦ, ὡς ἂν ἴσως κἀκεῖνος τῆς δι' αὐτοῦ ἰατρείας ἀξιωθῇ. εὗρεν οὖν πάλιν τὸν Κύριον ἐπὶ τῆς αὐτῆς, νεκροὺς ἀνιστῶντα, τυφλοῖς τὸ βλέπειν δωρούμενον, χωλοὺς ἀρτίους δεικνῦντα, καὶ πάντας τοὺς ὁποιανοῦν ἀσθενοῦντας ῥωννύοντα.

Certior ergo factus, perspectoque, hæc palam Domini virtutum esse opera; vt patriam domumque recepit, Augaro nuntiauit; ac pluribus, quæ viderat omnia, ac audiueat, indicauit. Quocirca velut maius quid ipso negotij capite per eius occasionem nactus, bonusque ac lætus hero ad-

Ὡς οὖν ἐπείσθη, καὶ ἔγνω ταῦτα φανερῶς ὑπὸ τοῦ Κυρίου τελούμενα, τῷ Αὐγάρῳ ὑποστρέψας ἐγνώρισε· καὶ διὰ πλειόνων ἅπερ εἶδεν, ἅπερ ἤκουσεν ἀνεδίδαξεν. ὅθεν ὡς μεῖζον τοῦ ἔργου τὸ πάρεργον περιεμπορευσάμενος, καὶ ὡς εὐαγγελίων αὐτῷ καταγγελεὺς δεξιῶν, τῆς προσηκού-

σης ἀποδοχῆς κατηξίωτο, καὶ τῶν εὐνουστάτων εἷς ἐγνωρίζετο. καὶ ἐπεὶ τὸ κάμνον ἀεὶ ὡς ἅρπαγμα ποιεῖται τὴν ἐπαγγελίαν, τῆς ὑγι-είας καὶ τῆς ἐλπίδος περισαινούσης τὸν ἄνθρωπον, σπουδαίως περὶ τὴν θήραν τοῦ μηνυθέντος πόθῳ ὁρμᾷ· καὶ ὁ Αὔγαρος πρὸς τὴν διὰ γραφῆς μετακλήσασθαι διανίστη, τὸν ἰᾶσθαι τὰ τοιαῦτα λεγόμενον δύνασθαι. καὶ παραχρῆμα τὴν πανταχοῦ περιφερομένην ταύτην ἐπιστολὴν πρὸς τὸν Κύριον ἔγραψεν, οὕτω πως περιέχουσαν.

Αὔγαρος τοπάρχης Ἐδέσσης, Ἰησοῦ σωτῆρι ἀναφανέντι ἀγαθῷ ἰατρῷ ἐν πόλει Ἱεροσολύμων, χαίρειν. ἤκουσταί μοι τὰ περὶ σοῦ, καὶ τῶν σῶν ἰαμάτων, ὡς ἄνευ φαρμάκων καὶ βοτανῶν ὑπὸ σοῦ γινομένων. ὡς γὰρ ὁ λόγος, τυφλοὺς ἀναβλέπειν ποιεῖς, χωλοὺς περιπατεῖν, λεπροὺς καθαρίζεις, καὶ ἀκάθαρτα πνεύματα καὶ δαίμονας ἀπελαύνεις· καὶ τοὺς ἐν μακρονοσίᾳ βασανιζομένους θεραπεύεις, καὶ νεκροὺς ἐγείρεις. καὶ ταῦτα πάντα ἀκούσας περὶ σοῦ, κατὰ νοῦν ἐθέμην τὸ ἕτερον τῶν δύο, ἢ ὅτι σὺ εἶ ὁ Θεός, καὶ καταβὰς ἐξ οὐρανοῦ ποιεῖς ταῦτα, ἢ ὅτι Υἱὸς εἶ τοῦ Θεοῦ ποιῶν ταῦτα. διὰ τοῦτο τοίνυν γράψας ἐδεήθην σου σκυλῆναι, καὶ ἐλθεῖν πρός με, καὶ τὸ πάθος ὃ ἔχω θεραπεῦσαι. καὶ γὰρ ἤκουσα, ὅτι καὶ Ἰουδαῖοι καταγογγύζουσί σου, καὶ βούλονται κακῶσαί σε. πόλις δὲ σμικροτάτη μοι ἐστὶ καὶ σεμνή, ἥτις ἐξαρκέσει ἀμφοτέροις ἡμῖν, τοῦ κατοικεῖν ἐν εἰρήνῃ ἐν αὐτῇ.

Ἐπεὶ οὖν Ἀνανίας τῆς τε πρὸς τὸν κύριον αὐτοῦ εὐνοίας σαφῆ παρέσχε τεκμήρια, καὶ τῆς ὁδοῦ ἐτύγχανεν ἔμπειρος, καὶ τὴν γραφικὴν τέχνην ἠπίστατο, δι' αὐτοῦ τὴν τοιαύτην ἐπιστολὴν πρὸς τὸν Ἰησοῦν

ueniens nuntius, humanissimè accipitur, inter seruos longè beneuolentissimos habitus. Quandoque ægra aliquis afflictaque valetudine quicquid audiat actutum semper rapit; extimulante nuncio ac spe incitante, in rem Augarus venandam sibique aucupandam cito citius incumbit, atque ad se, talium auctorem sanitatum datis literis accersit: nec mora celebri fama vbique vulgatam illam, Domino Epistolam, in hæc ferè se verba habentem, scribit.

Augarus Edessæ Princeps, Iesu Saluatori, qui bonus Hierosolymis Medicus apparuit, Salutem. Nuntiatum est mihi de te. & de curationibus, quas absque medicamentis & herbis operaris. Fama enim est, cæcis visum, claudis gressum abs te restitui; leprosos mundari, dæmonas & immundos spiritus expelli, diuturnis morbis oppressos sanari; mortuos denique suscitari. Quæ cùm omnia de te audirem, sic in animum meum induxi, Aut reuera Deum esse, qui è cœlo delapsus hæc efficias, aut certè Dei Filium. Proinde ad te scripsi, orans vt nos inuisere, morbumque nostrum sanare non graueris. Audio enim Iudæos tibi obtrectare, & insidias in caput tuum struere. Est mihi ciuitas, parua quidem illa, sed ornata, quæ nostrûm vtrique, vt tranquillè in ea degamus, sufficiat.

Augari ad Christum Epistola.

Quòd ergo Ananias suæ in herum beneuolentiæ manifesta indicia dederat, ac viæ peritus erat, pingendique artem callebat, per eum talem ad Iesum misit Epistolam; etiam atque etiam mandans, vt si literis à Christo

Expetita Augaro Imago Dominica, eius præsentiæ desideratæ solatio.

obtinere non posset, vt se ad ipsum conferret, eius quidem certè formæ similitudinem accuratè in tabella depictã, ad se afferret, vt velut in vmbra saltem, non solo auditu, sed & visu, quisnam sit tantorum auctor miraculorum, condisceret. Cúmque adeò qui missus erat in Iudæam venisset, Dominum inuenit in subdialibus cum populo, qui confluxerat, disserentem, eximiaque ac stuporis plena miracula patrantem: quódque ex conferta, aliorum alia necessaria ex causa adeuntium multitudine, haud satis liberum esset Ananiæ propius ad Iesum accedere, in petram paulò à terra editiorem ascendens, haud procul à loco in quo Iesus versabatur, consedit: iamque seorsim à turba Christo illi conspicuo, ipsique eminente, confestim defixis in eum oculis, ac manu chartæ adhibita, eius quem coram cernebat similitudinem penicillo ducere occœpit.

ἐξαπέστειλεν, ἐπισκήψας αὐτῷ, ὡς εἰ μὴ δυνηθείη πεῖσαι διὰ τοῦ γράμματος πρὸς αὐτὸν ἐλθεῖν τὸν Χριστὸν κἂν τὸ ὁμοίωμα τῆς μορφῆς αὐτοῦ μεταγραψάμενον ἀκριβῶς, ἀγαγεῖν πρὸς αὐτόν· ἵν᾽ ὡς ἐν σκιᾷ γοῦν διδαχθείη, μὴ δι᾽ ἀκοῆς μόνον, ἀλλὰ καὶ διὰ τῆς ὄψεως, οἷός ἐστιν ὁ τῶν μεγάλων τούτων τεραστίων δημιουργός. καὶ δὴ τὴν Ἰουδαίαν καταλαβὼν ὁ ἀποσταλεὶς, εὗρε τὸν Κύριον ἐν ὑπαίθρῳ τῷ συρρεύσαντι δήμῳ διαλεγόμενον, καὶ τερατουργοῦντα τὰ τῶν θαυμάτων ἐξαίσια. διὰ δὲ τὸ πλῆθος τῶν ἄλλου κατ᾽ ἄλλην χρείαν ἐληλυθότων μὴ οἷός τε ὢν ὁ Ἀνανίας πλησιάσαι τῷ Ἰησοῦ, ἐπί τινα πέτραν μικρὸν ἀνεστηκυῖαν τῆς γῆς, οὐ πόρρω τῆς τοῦ Κυρίου διατριβῆς ἀπελθὼν ἐκαθέζετο· καὶ ὡς ἦν αὐτῷ καταφανὴς ὁ σωτὴρ τοῦ πλήθους ἀποκεκριμένος καὶ ὑπερανέχων τῶν πολλῶν, εὐθὺς ἐκείνῳ μὲν τοὺς ὀφθαλμοὺς, τῷ δὲ χάρτῃ τὴν χεῖρα προσήρεισε, καὶ τὴν τοῦ φαινομένου κατέγραφεν ὁμοιότητα.

Cognouit itaque Iesus spiritu, ac Thomam accersens, Vade, inquit, in eum locum, inque petra sedentem hominem, ac meam penicillo ducentem formam, ad me adducito; vnáque quam ad me affert Epistolam, vt quod à mittente mandatum accepit, adimpleam. Abiit Thomas, exque signo operis, quod audierat, agnitum hominem ad Iesum adduxit. Nec dumque ab eo accepta Epistola, aduentus causam ad ipsum, vimque Epistolæ ei Christus edixit. Tumque ad eo ea accepta ac lecta, aliam vicissim ad Augarum, ita se ad verbum habentem, misit.

Ἔγνω οὖν τοῦτο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ τὸν Θωμᾶν μετακαλεσάμενος, Ἄπελθε φησὶ πρὸς τὸν δε τὸν τόπον, καὶ τὸν ἐπὶ τῆς πέτρας καθεζόμενον ἄνθρωπον, καὶ τὴν ἐμὴν μορφὴν μεταγράφοντα, ἄγαγε πρός με, ἐπιφερόμενος καὶ ἣν οἴκοθεν ἦλθεν ἔχων ἐπιστολὴν, ἵνα τὴν τοῦ ἀποστείλαντος αὐτὸν ἐκπληρώσω διαταγήν. ἀπελθὼν οὖν ὁ Θωμᾶς, καὶ τὸν Ἀνανίαν ἀπὸ τοῦ ὃ ἤκουσεν ἔργου διαπρεπόμενον ἐπιγνοὺς, ἤγαγε πρὸς τὸν Ἰησοῦν. πρὸ δὲ τοῦ λαβεῖν τὴν ἐπιστολὴν παρ᾽ αὐτοῦ, εἶπεν αὐτῷ ὁ Χριστὸς καὶ τὴν αἰτίαν τῆς παρουσίας τῆς πρὸς αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἐπιστολῆς. εἶτα λαβὼν ταύτην, καὶ διελθὼν, ἑτέραν ἐπιστολὴν πρὸς Αὔγαρον ἀντεπιτέθηκεν ἐπὶ λέξεως οὕτως ἔχουσαν.

Μακάριος εἶ, Αὔγαρε, πιστεύσας ἐν ἐμοὶ μὴ ἑωρακώς με. γέγραπται γὰρ περὶ ἐμοῦ, τοὺς ἑωρακότας με μὴ πιστεύειν ἐν ἐμοί· καὶ ἵνα οἱ μὴ ἑωρακότες με, αὐτοὶ πιστεύσωσι, καὶ ζήσωνται. περὶ δὲ οὗ ἔγραψάς μοι ἐλθεῖν πρός σε, δέον ἐστὶ πάντα, δι᾽ ἃ ἀπεστάλην ἐνταῦθα πληρῶσαί με· καὶ μετὰ τὸ πληρῶσαι ἀναληφθῆναι πρὸς τὸν ἀποστείλαντά με Πατέρα. καὶ ἐπειδὰν ἀναληφθῶ ἀποστελῶ σοι ἕνα τῶν μαθητῶν μου, ὅστις τὸ πάθος σου θεραπεύσει, καὶ
2. ζωὴν αἰώνιον καὶ εἰρήνην σοί, 2 καὶ τοῖς σὺν σοὶ παρέξει. καὶ ποιήσει τῇ πόλει σου τὸ ἱκανὸν, πρὸς τὸ μηδένα τῶν ἐχθρῶν κατισχῦσαι αὐτῆς.

Ἐπιδοὺς οὖν τῷ Ἀνανίᾳ τὴν τοιαύτην ἐπιστολὴν ὁ Χριστὸς, ἐπεὶ καὶ περὶ τὸ τὴν ἑτέραν ἐκπληρῶσαι τοῦ κυρίου αὐτοῦ εἰς πέρας ἀγαγεῖν ἔγνω διαμεριμνῶντα αὐτὸν καὶ φροντίζοντα· τουτέστι τὴν τοῦ εἴδους αὐτοῦ ὁμοιότητα πρὸς ἐκεῖνον ἀπενεγκεῖν· νιψάμενος ὕδατι τὸ πρόσωπον ὁ σωτὴρ, εἶτα τὴν ἀπὸ τούτου ἰκμάδα ἐν τῷ ἐπιδοθέντι αὐτῷ χειρομάκτρῳ ἀπομαξάμενος, ἐντυπωθῆναι τὸν αὐτοῦ χαρακτῆρα ἐν αὐτῷ οἰκονομήσας θείως καὶ ὑπὲρ λόγον· καὶ τοῦτο τῷ Ἀνανίᾳ ἐπιδοὺς, τῷ Αὐγάρῳ ἐπιδοθῆναι προσέταξεν, ὡς ἂν τοῦ πόθου παραμύθιον, καὶ τῆς νόσου αὐτοῦ εἴη. ὡς οὖν ὑποστρέφων μετὰ τούτων ὁ Ἀνανίας, εἰς τὸ κάστρον Ἱεραπόλεως ἔφθασεν, ὃ τῇ μὲν Σαρακηνῶν φωνῇ Μεμμὶχ λέγεται, τῇ δὲ τῶν Σύρων Μαβοὺκ, ἔξωθεν τοῦ τοιούτου καταλύσας τοῦ ἄστεος, σωρείας κεράμων νεωστὶ κατασκευασθέντων ἐκεῖσε κειμένης, ἐνταῦθα τὸ ἱερὸν ἐκεῖνο ῥάκος ὁ Ἀνανίας ἀπέκρυψε· καὶ περὶ μέσας νυκτὸς πῦρ ἐφάνη πολὺ τὸ τοιοῦτον

Beatus es, Augare, qui in me credideris, quem non vidisti. De me enim scriptum est, eos qui me viderunt non credituros in me, vt ij qui non viderant, credant ac viuant. Quòd verò ad me scribis vt ad te proficiscar, hic necesse habeo omnia implere propter quæ sum missus; iisque demum absolutis, ad Patrem qui me misit, reuerti. Cæterum cùm primùm ad eum me recepero, vnum ex meis discipulis ad te mittam, qui & morbum tuum curet, & vitam æternam ac pacem, tibi tuisque præstet; tuæque cautionem ciuitati præbebit, vt aduersus eam nulli hostes præualere possint.

Hanc vbi Ananiæ Christus dedit Epistolam, quòd animi anxium sciret, vt & alterum heri sui præceptum impleret; nempe vt formæ ipsius similitudinem ad ipsum deferret; ipse aquâ faciem lauans; tumque manantem inde humorem oblato mantili abstergens, diuino, vimque omnem rationis ac dicendi facultatem superante, consilio suam in eo figuram expressit: Tradensque Ananiæ, Augaro vt daret, præcepit, vt & amoris solatium haberet & morbi remedium. His onustus Ananias vbi ad Hierapolitanum oppidum peruenit, quod Saracenorum quidem lingua Memmich, Syrorum verò, Mabuc dicitur, extra oppidum cum diuertisset, illicque loci tegularum recens coctarum cumulus congestus esset, in eis Ananias factum illud linteum abdidit. Ad mediam autem noctem, ingens incendij vis toto circum loco diffusa apparuit; visumque oppidianis omnia procul ardere, vt suis iam rebus diffisi, effusi mœnibus, de incendio cuius terrifica species obiecta fuerat, perquirerent. Inter hæc in-

Christi ad Augarum responsio.

uentum Ananiam, velut facinoris au-ctorem tenent; ac quid istud rei inter-rogant, quisve ipse sit, ac quò vadat, & vnde profectus sciscitantur. Anceps animi Ananias pro alienæ crimina-tionis periculo, interim narrat vnde sit, ac vnde veniat, quamve sarcinam ferat; aitque se in tegulis deposuisse, vnde visum accendi incendium. Mox itaque rei vt verè esset noscendi aui-di, locum scrutantes, non hoc solum offenderunt quod Ananiæ illic con-ditum erat, sed & in vna vicina tegu-la diuinam illam expressam effigiem; inaudito modo, & vt nemo mente as-sequi queat, ex priore non manu-facta linteo deformata Imagine testæ impressam. Quod cùm vidissent, ple-ni stupore & admiratione, tum eius rei nomine, tum quòd ignis ardens nusquam occurrisset, sed ex formæ claritate visa esset flamma emicare; tegulam quidem, quæ diuinam in se hauserat formam, velut sacrum ali-quod pignus ac pretiosum thesaurum apud se retinuerunt, diuinam huius vim ex eo quod visum erat, conie-ctantes: primum autem exemplar & eius ministrum veriti retinere, ad Au-garum miserunt. Hactenusque inco-lumis est ac venerationem habet a-pud eius oppiduli incolas, quæ in te-gula forma expressa est; eius quæ non picta est, ipsa non picta Imago; eius quæ non manufacta, ipsa non manu-facta. Ananias autem, peracto quod propositum erat itinere, quæ interim gesta acciderant hero declarauit, ac quæ ferebat salutaria symbola, red-didit.

Altera non manufacta Imago ex priore pro-totypa.

χωρίον περικυκλοῦν, ὡς ἐντὸς τοῦ ἄστεος δοκεῖν πάντα τὰ πέριξ πυρὶ καταφλέγεσθαι. καὶ περὶ ἑαυτῶν ἤδη δείσαντες ὑπεξελθεῖν, καὶ διε-ρευνᾶσθαι περὶ τῆς ὁρωμένης πυρ-καϊᾶς. ἐκεῖσε δὲ τὸν Ἀνανίαν εὑρε-θέντα, συνεῖχον ὡς αἴτιον γεγονότα τοῦ τολ-μήματος· καὶ διηρεύνων τὸ περὶ τοῦ πράγματος· καὶ τίς τε εἴη αὐτός, καὶ ποῖ βαδίζοι, καὶ ὅθεν δὴ ἐπυν-θάνοντο. ὡς δὲ τῷ ἀγνοκότῳ τῆς αἰτή-σεως ὁ Ἀνανίας διηπορεῖτο, τέως γε ὅθεν εἴη, καὶ πόθεν ἔρχεται, καὶ τί ἐπιφέρεται διεσάφησε· καὶ ἀπο-τεθεῖσθαι ἐν τοῖς κεραμοῖς ἐδήλωσε τὸ ἐπιφερόμενον, ὅθεν ἐδόκει ἀνά-πτεσθαι καὶ ἡ φλόξ. εὐθὺς δὲ ἐκεῖ-νοι τὴν τῶν λεγομένων βουληθέντες διαγνῶναι ἀλήθειαν, τὸν τόπον διερευνησάμενοι, εὗρον οὐ μόνον τὸ ἱερὸν τοῦ Ἀνανίου ἐκεῖσε ἀποτεθέν, ἀλλὰ καὶ ἐν τῷ πλησιάζοντι τῶν κεράμων ἑνί, ἕτερον ἐκτύπωμα τοῦ Θείου ἀπεικονίσματος, παραδόξως καὶ ὑπὲρ νοῦν ἐπὶ τὸ ὄστρακον ἀπὸ τοῦ ὑφάσματος τῆς ἀγράφου μετα-χαραχθείσης μορφῆς. ὃ καὶ θαυμαζό-μενοι, καὶ θάμβους ὁμοῦ καὶ ἐκ-πλήξεως γενόμενοι ἔμπλεω, διά τε τοῦτο, καὶ διὰ τὸ μηδαμοῦ πῦρ εὑρεθῆναι καιόμενον, ἀλλ' ἀπὸ τοῦ ἐν τῇ μορφῇ λαμπηδόνος δόξαι τὴν φλόγα ἐκπέμπεσθαι, τὸν μὲν κέραμον τὸν ἀπομαξάμενον ἐν ἑαυτῷ τὸ θεῖον ἐκτύπωμα, κατέσχον παρ' ἑαυ-τοῖς ὥσπερ τι κειμήλιον ἱερόν, καὶ πολύτιμον θησαυρόν· ἀπὸ τοῦ ὀφ-θέντος τὴν περὶ αὐτὸ στοχασάμενοι θείαν ἐνέργειαν. τὸ πρωτότυπον δὲ καὶ τὸν τούτου διάκονον δείσαντες κα-τασχεῖν ἀπέστειλαν πρὸς τὸν Αὔγα-ρον· καὶ νῦν ἔτι σωζομένη καὶ τιμωμένη παρὰ τοῖς τῆς τοιαύτης πολίχνης οἰκήτορ-σιν, ἡ ἐν τῷ κεράμῳ μορφή· τῆς μορφῆς τῆς ἀγράφου ἡ ἄγραφος· καὶ τῆς ἀχειροτεύκτου, ἡ ἀχειρότευκτος. ὁ δὲ Ἀνανίας τὴν προκειμένην αὐτῷ πορείαν διανυκώς, τῷ κυρίῳ αὐτοῦ τὰ μεταξὺ διετράνωσεν, ἀποδίδωσι καὶ ἃ ἐπεφέρετο σωτήρια σύμβολα.

Καὶ οὗτος μὲν ὁ παρὰ τῶν πλειόνων λεγόμενος λόγος, περὶ τῆς ἐν τῷ ὑφάσματι ταύτης ἀγράφου μορφῆς τοῦ σωτῆρος ἡμῶν. λέγεται δέ τις καὶ ἕτερος περὶ τούτου λόγος, οὔτε τὸ πιθανὸν ἐκφεύγων, οὔτε μαρτύρων χρηστῶν ἀπορῶν· διὸ καὶ τοῦτον ἐκθήσομαι, ἵνα μή τις ὑποτοπάσῃ ἐν τῷ ἀγνοεῖν τοῦτον κρατύνειν τὸν ἕτερον. καὶ πάντως οὐδὲν θαυμαστὸν ἐν τοσούτῳ χρόνῳ πλανᾶσθαι πολλάκις τὴν ἱστορίαν. περὶ μὲν τὸ καίριον τῆς ὑποθέσεως, ὁμοίως πάντες συμφέρονται, καὶ ὁμολογοῦσιν ἀπὸ τοῦ κυριακοῦ προσώπου τὴν ἐν τῷ ὑφάσματι ἐκτυπωθῆναι παραδόξως μορφήν· περὶ δὲ τῶν τοῦ πράγματος, ἤτοι τὸν καιρὸν διαφέρονται· ὃ οὐδὲν τῇ ἀληθείᾳ λυμαίνεται, εἴτε πρότερον, εἴτε ὕστερον γέγονεν. ἔχει δὲ οὕτως καὶ τῶν λόγων ἕτερος.

Ἐν τῷ μέλλειν φασὶ τὸν Χριστὸν ἐπὶ τὸ ἑκούσιον πάθος ἥκειν, ἡνίκα τὴν ἀνθρωπίνην ἀσθένειαν ἐνδεικνύμενος ἀγωνιῶν ὡρᾶτο, καὶ προσευχόμενος, ὅτε καὶ τοὺς ἱδρῶτας αὐτοῦ ὡσεὶ θρόμβους στάζειν αἵματος ὁ τοῦ εὐαγγελίου λόγος ὑποσημαίνεται· τηνικαῦτα φασὶν ἀπό τινος τῶν μαθητῶν λαβόντα τὸ νῦν βλεπόμενον τοῦτο τεμάχιον τοῦ ὑφάσματος, τὰς τῶν ἱδρώτων λιβάδας ἐν αὐτῷ ἀπομάξασθαι· καὶ εὐθέως ἐκτυπωθῆναι τὴν ὁρωμένην ταύτην τῆς θεοειδοῦς ἐκείνου εἴδους ἐκτύπωσιν. ὃ τῷ Θωμᾷ παραθέμενος, μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον διὰ Θαδδαίου Αὐγάρῳ ἀποστεῖλαι προσέταξε, τὴν διὰ τῶν γραμμάτων ὑπόσχεσιν ἐκπληρῶν. μετ' οὖν τὸ ἀναληφθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τοὺς οὐρανούς, δίδωσιν ὁ Θωμᾶς τῷ Θαδδαίῳ

Et hæc quidem peruulgata opinio, de eâ Saluatoris forma non manufacta, quæ impressa linteo est. Fertur verò & alia de illa narratio, nec ipsa ab specie veri remotior, aut quæ probis testibus careat. Quamobrem etiã exponam, ne me aliquis existimet alterius ignorantia, alterius fidem quærere. Nec prorsus mirum, tanto temporis spatio, haud rarò falsi aliquid in historiam commeasse. In eo quidem quod rei caput est, omnes perinde consentiunt; exque vultu Dominico, inaudito modo, impressam linteo formam asserunt: de rei autem aliquo accidenti (de tempore scilicet) est dissensio. Nihil tamen istud quicquid est veritati nocet, siue prius, siue postea factum est Sic verò altera quoque se narratio habet.

Altera narratio seu traditio nõ manufactæ Christi Imaginis Edessenæ.

Cum Christus ad mortem sponte subeundam profecturus, humanam in se naturam, timoris angustia mortis comite, exhiberet, atque in preces effusus esset; quando etiam Euangelicus sermo, sudorem eius velut guttas sanguinis notat defluxisse; tunc aiunt, lintei resciſſam partem quam nunc videmus, cùm ex quodam discipulorum accepisset, stillantes imbres eo abstersisse; moxque, quam oculis vsurpamus diuinam hanc Imaginem illi impressam effulsisse. Pignus Thomæ depositum; ac in mandatis datum vt post Iesu in cœlos ascensum, per Thaddæum, quò sic scripta promissio impleretur, mitteret ad Augarum. Igitur Christo Domino in cœlos recepto, dans Thomas Thaddæo non manufactam Dominici vultus effigiem, Augaro deferendam iussit. Veniens itaq; Thaddæus Edessam, mansit

primùm apud quendam eius loci Iudæum, Tobiam nomine. Necdum cum Regulo conserto sermone, quippe cùm is animo constitutum haberet, vt ex operibus Augaro innotesceret, quos ciuium ægrotos offendit, acturum curauit solo Christi inuocato nomine. Quocirca percrebrescente Christi fama (vti quidem in talibus solet accidere; res enim mirabiles & inauditæ, plures sui nuntios habent) ad Augarum quoque per vnum quendam ex proceribus Amdu nomine, aduenisse Christi Apostolum rumor perlatus est. Mox itaque, ea spe quam animo alebat, in mentem venit, eum ipsum esse, quem ei se missurum per literas Iesus promisisset. Igitur de Thaddæo plenius sciscitatus, cùm didiscisset, ad se virum adduci iubet. Tobias veniens, id quod iussus erat, Apostolo significauit. Tum ille cùm se ad illum in virtute missum dixisset, postridie ad eum profectus est. Iamque in procinctu vt se eius coram oculis sisteret, eam sibi effigiem velut signum in fronte ponens atque erigens, in hunc modum ad Augarum ingressus est. Videns ille eminus venientem, lucem sibi ex eius facie emicantem, quam nulla vis oculorum ferre posset eiaculante ipsa effigie, cernere visus est. Effulgurantis itaque lucis importabili radio attonitus ac stupens, morbique casuum ac diuturnæ membrorum resolutionis velut oblitus, repente lecto excussus, resoluta membra in occursum cogit festinare. Eodem scilicet affectu, haud tamen eadem ratione, ac ij, qui in Monte Thabor, lucis fulgoribus micantem formam conspexere.

Sacræ Imaginis effulgurans species.

τὴν ἀχειρόγραφον τοῦ κυριακοῦ προσώπου ἐκμόρφωσιν, πρὸς τὸν Αὔγαρον ἐξαπέστειλε. καταλαβὼν τοίνυν ὁ Θαδδαῖος τὴν Ἔδεσαν, ἔμεινε πρότερον παρά τινι τῶν αὐτόθι Ἰουδαίων. Τωβίας οὗτος ὠνόμαστο καὶ δὴ πρὸ τῶν λόγων ἀπὸ τῶν ἔργων θέλων ἑαυτὸν γνωρίσαι τῷ Αὐγάρῳ, ὁ τοῦ Χριστοῦ μαθητὴς, τοὺς ἀσθενοῦντας τῆς πόλεως ἐπικλήσει μόνῃ Χριστοῦ ἐθεράπευσεν. ὅθεν τοι τῆς Χριστοῦ τῆς φήμης διαδοθείσης, ὅπερ ἐπὶ τῶν τοιούτων συμβαίνειν φιλεῖ· τὰ γὰρ παράδοξα τῶν πραγμάτων πολλοὺς ἔχει τοὺς περὶ αὐτῶν ἀπαγγέλλοντας, ἔφθασε καὶ πρὸς τὸν Αὔγαρον διά τινος τῶν αὐτοῦ δυναστῶν Ἀμδοῦ καλουμένου, ἡ περὶ τῆς ἐνδημίας τοῦ Ἀποστόλου Χριστοῦ ἀκοή. λογισάμενος οὖν εὐθέως ἐκ τῆς ὑποκορούσης ἐν αὐτῷ ἐλπίδος, τοῦτον ἐκεῖνον εἶναι, ὃν ἀποστεῖλαι πρὸς αὐτὸν ὁ Ἰησοῦς διὰ τῆς γραφῆς ἐπηγγείλατο· καὶ παρ' αὐτοῦ τρανότερον τὰ περὶ τοῦ Θαδδαίου μαθὼν, ἀγαγεῖν αὐτὸν διωρίσατο. ὁ οὖν Τωβίας ἐλθὼν, ἐγνώρισε ταῦτα τῷ Ἀποστόλῳ. κἀκεῖνος ἐν δυνάμει πρὸς αὐτὸν ἀποστέλλεσθαι εἰπὼν, τῇ ἑξῆς πρὸς τὸν Αὔγαρον παρεγένετο. ἐν δὲ τῷ μέλλειν κατὰ πρόσωπον αὐτῷ ἐμφανίζεσθαι, ἐπὶ τοῦ ἰδίου μετώπου οἷον σημεῖον ἀναστηλώσας τὴν τοιαύτην ἐμφέρειαν, οὕτως εἰσῄει πρὸς Αὔγαρον. ὁ δὲ πόρρωθεν αὐτὸν προσιόντα ἰδὼν, κρεῖττον ὄψεως φῶς ἀκτινοβολοῦν ἀπὸ τῆς ὄψεως αὐτοῦ ἐξαπτόμενον ἔδοξεν ὁρᾶν, ὃ τὸ ἐπικείμενον ἠφίει ὁμοίωμα. ὅθεν τῷ ὑπερβάλλοντι τῆς ἀστραπτούσης λαμπηδόνος καταπλαγεὶς, καὶ ὥσπερ ἐν λήθῃ τῶν περὶ αὐτὸν πλημμελημάτων γενόμενος καὶ τῆς πολυχρονίου παρέσεως τῶν μελῶν, τῆς κλίνης ἀθρόως ἀνέθορε, τρέχειν ἐβιάζετο· τὸ αὐτὸ πάθος καὶ πρὸς ὑπαντὴν τὰ παρειμένα μέλη παθὼν τρόπον ἕτερον τοῖς ἐν τῷ ὄρει Θαβὼρ τὴν ἀστράπτουσαν μορφὴν θεασαμένοις.

Λαβὼν τοίνυν ἀπὸ τοῦ Ἀποστόλου τὸ τοιοῦτον ὁμοίωμα, καὶ σεβασμίως αὐτὸ τῇ κεφαλῇ περιθεὶς καὶ τοῖς χείλεσι, καὶ οὐδὲ τἆλλα τῶν τοῦ σώματος μελῶν στερήσας τῆς τοιαύτης προσψαύσεως, ἔγνω παραυτὰ τὰ μέλη πάντα θαυμασίως ἀναρρωννύμενα, καὶ τὴν εἰς τὸ κρεῖττον μεταβολὴν εἰσδεχόμενα. καὶ τὴν λέπραν ἐκκαθαιρομένην καὶ ἀποφεύγουσαν, εἰ καὶ ἔτι ἐν τῷ μετώπῳ λείψανόν τι ταύτης μικρὸν ὑπελείπετο. διδαχθεὶς οὖν τὸν τῆς ἀληθείας λόγον τότε παρὰ τοῦ Ἀποστόλου σαφέστερον, καὶ περὶ τῶν παραδόξων τοῦ Χριστοῦ θαυμάτων· τῶν τε θείων παθῶν, καὶ ταφῆς, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀναλήψεως· καὶ ὁμολογήσας ἀληθῆ Θεὸν τὸν Χριστόν, περὶ τῆς ἐν τῇ ὀθόνῃ ἐκτυπώσεως τῆς μορφῆς ἐπυνθάνετο, ἐπειδὴ αὐτὴν ἀκριβέστερον ἐπιστάς, ἐπεγίνωσκεν οὐ διὰ χρωμάτων ὑλικῶν τὴν σύστασιν ἔχουσαν, καὶ τὴν ἐν αὐτῇ κατεπλήττετο δύναμιν, ὑφ' ἧς παραδόξως ἐξανέστη τῆς κλίνης, καὶ συνευθυμεῖτο τοῖς ὑγιαίνουσι. πρὸς ταῦτα ὁ Θαδδαῖος τὸν καιρὸν τῆς ἀγωνίας ἐδήλου, καὶ τὴν ἐκ τῶν ἱδρώτων ἀχρωμάτιστον μόρφωσιν· καὶ τὴν τῆς ἀφίξεως πρὸς αὐτὸν Κυρίου εἰσήγησιν· καὶ τἆλλα ὅσα τὸ φθάσαν τῆς ἱστορίας ἐδήλωσεν.

Accepta itaque ab Apostolo effigie, ac venerantis specie, capiti imposita, oculisque & manibus & labiis, ac corporis membris reliquis, nullo eius muneris experte, adhibita, statim membra omnia roborari cognouit, ac meliore statu mutari: mundari lepram ac cedere, tametsi eius quoddam vestigium ac residuum mansit in fronte. Doctus igitur ab Apostolo paulò clarius veritatis doctrinam; déque inauditis Christi miraculis, diuinisque passionibus, & sepultura, & resurrectione à mortuis, atque in cœlos receptione institutus; cùm Deum verum Christum confessus esset, de forma linteo expressa sciscitabatur; quòd nimirum eâ diligentius inspecta, nullis terrenis conflatam coloribus cognouerat, eiusque stupebat virtutem, quòd sic grandi miraculo ac insolito lectulo exsilierat, ac incolumi sanitate gaudebat. Ad hæc Thaddæus, mortis timorem ac angustias declarare, exque sudoribus nullo colorum pigmento expressam effigiem docere; Domini iussu ad eum accessisse, & alia quæcunque iam superior decurrit historia.

Imaginis veneratio, morbique depulsio.

Ὡς οὖν ἀπό τε τῆς ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐπιθέσεως τῶν χειρῶν τοῦ Θαδδαίου τὰ λυποῦντα τὸ ὑπεξίστατο, καὶ τὰ παρειμένα ὡσεὶ συνεσφίγγετο· καὶ ἡ ἀμορφία διεσκεδάννυτο, καὶ πάντα πρὸς ὑγίειαν ἔτρεχε, τῷ πανταχόθεν θάμβει ὁ Αὔγαρος συνεχόμενος, Ἐπ' ἀληθείας ἔφη, γνήσιος εἶ μαθητὴς Ἰησοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ δίχα φαρμάκων καὶ βοτανῶν θεραπεύοντες. καὶ ἐγὼ τοσοῦτον τῇ

Postquam igitur ex his pariter, manuumque Apostoli in nomine Iesu Christi impositione, dolorumvis sensusque aufugerat, membraque resoluta velut adstringebantur; atque oris deformitas euanescebat, cunctaque ad sanitatem currebant; rei tantæ compendio vndique Augarus admiratione defixus: Verè, inquit Iesu Filij Dei discipulus es, qui curabat absque medicamentis & herbis. Ac ego, tanta illi amoris vi ac fide deuinctus

ſum, vt ſi per eminentem Romani Imperij poteſtatem, per quam ſubditis nefas bello inuicem laceſſere, bellum mouere liceret; in Iudæos fortè, qui Domino crucem poſuerunt, arma mouiſſem, mihique ſubegiſſem. Nunc autem quòd & mortem ſponte ſubiiſſe doceor, ac certus ſum, fore vt niſi voluiſſet, nunquam ſibi improba turba, ſubiiceret, nihil vltra quæro ac diſputo. Solum diuino baptiſmate luſtrari rogo, ac cum tota familia Chriſti neceſſitudinis iura obire, meque illi addicere. Multis itaque antè patratis miraculis, cunctiſque quibus laborabant ægritudinibus ſanatis, in quibus qui proximè Augarũ claritate ac potentiâ attinebat, ipſe quoque podagra qua laborabat, ſanatus, muneris præco erat, cum curaſſet Chriſti Apoſtolus, diuinę Augarũ piſcinę admouit; legitimiſque in eo peractis, ipſum ac vxorẽ, liberoſq; cũ tota familia tinxit; exiitq; è diuina hac expiationis vnda mundus totus ac ſanus, lepra repente abolita, iiſque ipſis paucis reliquiis, quibus Viri frons inuſta perſtiterat.

περὶ αὐτὸν στοργῇ καὶ πίστει συνδέδεμαι, ὥστε εἰ μὴ ἐδεδίειν τὸ ὑπερέχον σε τῆς Ῥωμαίων δυνάμεως, οἳ τοὺς ὑπὸ σφᾶς ὄντας ἀνέχονται κατ' ἀλλήλων ὁπλίζεσθαι, τάχα ἂν καὶ τῶν σταυρωσάντων τὸν Κύριον Ἰουδαίων ὅπλα ἐκίνησα, καὶ παρεστησάμην αὐτούς. νῦν δὲ ἐπεὶ καὶ τὸ πάθος αὐτοῦ ἐδιδάχθην ἑκούσιον, καὶ πέπεισμαι ὡς εἰ μὴ βουληθέντος αὐτοῦ κατίσχυσαν οἱ ἀγωνισάμενοι κατ' αὐτοῦ, οὐδὲν περαιτέρω περιεργάζομαι. δέομαι δὲ καὶ τοῦ θείου βαπτίσματος ἀξιωθῆναι, καὶ πανοικὶ προσοικειωθῆναι, καὶ ἀνατεθῆναι τῷ δεσπότῃ Χριστῷ. Πολλὰ τοίνυν ἐπιτελέσας θαύματα πρότερον ὁ τοῦ Κυρίου Ἀπόστολος, καὶ πάντας ἀπὸ τῆς νόσου αὐτῶν ἰασάμενος, ἐν οἷς ἦν καὶ ὁ πρῶτος τὴν περὶ αὐτοῦ φήμην τῷ Αὐγάρῳ ἀνενεγκὼν, ὃν ποδαγρικοῦ παθήματος ἠλευθέρωσε, προσήγαγε τῇ θείᾳ κολυμβήθρᾳ τὸν Αὔγαρον· καὶ τὰ νενομισμένα ἐπ' αὐτῷ τελέσας, ἐβάπτισεν αὐτόν τε καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα, καὶ πάντας τοὺς ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἐξῆλθεν ἀπὸ τοῦ θείου τούτου τοῦ καθαρσίου ὕδατος, καθαρὸς ὅλος καὶ ὑγιὴς, ἀφανισθέντος ἀθρόως καὶ τοῦ ὑπολειφθέντος μικροῦ λειψάνου τῆς λέπρας ἐν τῷ μετώπῳ αὐτοῦ.

Sanctæ Imaginis noua veneratio Edeſſæ.

Hinc factum vt Regulus, qui eius Dominicæ Effigiei ac formæ, modis omnibus venerator cultorque exiſteret, hoc quoque ad aliam eius religionem adiiceret. Nempe, antiquis Edeſſæ ciuibus dij cuiuſdam Græcanicæ ſuperſtitionis ſtatua, pro publica Vrbis porta erecta erat, cui neceſſe cultum adhibere, quiſquis demum in vrbem ingredi vellet; certaque ſimulacro vota reddere, ac tum libero aditu vrbis vicos plateaſque percurrere. Suſtulit itaque Augarus ac aboleuit, inque eius baſis loco, ad aſſerem glutino compactam hancce non

Ἐντεῦθεν παντοίως τιμῶν καὶ σεβόμενος τὸ τοιοῦτον ὁμοίωμα τῆς τοῦ Κυρίου μορφῆς, καὶ τοῦτο τοῖς ἄλλοις ὁ τοπάρχης προσέθηκεν· ἐκ τῶν παλαιῶν τῆς Ἐδέσσης πολιτῶν τε καὶ οἰκιστῶν τῶν ἐπισήμων, τινὸς [δὲ] ἑλληνικῶν θεῶν ἄγαλμα πρὸ τῆς δημοσίας πύλης τῆς πόλεως ἀνεστήλωτο, ᾧ πάντα τὸν ἐντὸς τοῦ ἄστεος γίνεσθαι βουλόμενον ἀναγκαῖον ἦν προσκυνῆσαι, καὶ νενομισμένας τινὰς εὐχὰς ἀποδοῦναι, καὶ οὕτως ἔχεσθαι τῶν ἐν τῇ πόλει ὁδῶν τε καὶ ἀγυιῶν. τοῦτο οὖν τότε ὁ Αὔγαρος καθελὼν, καὶ ἀφανισμῷ παραδοὺς, εἰς

τὸν τῆς ἐκείνου στάσεως τόπον, τὴν ἀχειροποίητον ταύτην εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ σανίδος κολλήσας, καὶ διὰ τοῦ νῦν φαινομένου χρυσοῦ καλλωπίσας, ἀνέστησε· ἐπιγράψας ἐν τῷ χρυσῷ ταῦτα τὰ ῥήματα. Χριστὲ ὁ Θεός, ὁ εἰς σὲ ἐλπίζων οὐκ ἀποτυγχάνει ποτέ. ἐθέσπισέ τε πάντα τὸν διὰ τῆς πύλης ἐκείνης διέρχεσθαι μέλλοντα, ἀντὶ τῆς παλαιᾶς ἐκείνης στήλης τῆς ἀχρήστου καὶ ἀνωφελοῦς, τὸ προσῆκον σέβας, καὶ τὴν ὀφειλομένην προσκύνησιν καὶ τὴν τιμὴν ἀπονέμειν, τῇ πολυθαυμάστῳ θαυματουργῷ τοῦ Χριστοῦ εἰκόνι· καὶ οὕτως εἰς τὴν πόλιν Ἐδέσσης εἰσέρχεσθαι. καὶ διετηρήθη τοιοῦτον τοῦ ἀνδρὸς εὐσεβείας ὅτι προχάραγμα καὶ ἀνάθημα, μέχρι τῆς ἐν τῷ βίῳ παρουσίας, αὐτοῦ τε τοῦ Αὐγάρου, καὶ τοῦ τούτου υἱοῦ, ὃς τῆς βασιλείας καὶ τῆς εὐσεβείας τῆς πατρικῆς κατέστη διάδοχος. ἀλλ' ὁ τούτων υἱός τε καὶ υἱωνός, τῆς μὲν πατρώας καὶ παππώας ἀρχῆς διάδοχος γέγονεν· οὐ μὴν καὶ τῆς εὐσεβείας κληρονόμος ἐγένετο· ἀλλ' ἀπελάκτισεν ὡς εἰπεῖν τὴν εὐσέβειαν, καὶ πρὸς τοὺς δαίμονας καὶ τὰ εἴδωλα ηὐτομόλησε. διὸ καὶ οἱονεὶ τὸ ἀνταπόδωμα τοῖς δαίμοσιν ἀνταποδιδούς, ἐβουλήθη, ἐπεὶ ὁ πάππος αὐτοῦ τὴν εἰδωλικὴν ἐκείνην στήλην ἀφανισμῷ παραδέδωκε, τὴν αὐτὴν καταδίκην καὶ τῇ τοῦ Κυρίου εἰκόνι προσαγαγεῖν. ἀλλ' οὐκ ἐπέτυχε τῆς θήρας ὁ δόλιος. ὁ γὰρ ἐπίσκοπος τοῦ τόπου τοῦτο προγνούς, τὴν ἐνδεχομένην ἔθετο πρόνοιαν. καὶ ἐπεὶ ὁ τόπος καθ' ὃν ἀνέκειτο ἡ εἰκών, κυλινδροειδοῦς ἡμισφαιρίου σχῆμα διέσωζεν, θρυαλλίδα πρὸ τῆς εἰκόνος ἅψας, καὶ κέραμον ἐπιθείς, εἶτα ἔξωθεν τιτάνῳ καὶ πλίνθοις ὀπταῖς ἀποφράξας τὸ

manufactam Domini nostri Iesu Christi Imaginem, quo nunc auro conspicua est, egregiè ornatam, statuit; his illi auro inscriptis verbis: CHRISTE DEVS, QVI IN TE SPERAT, NVNQVAM VOTO FRVSTRATVS ABIT: sanxitque. vt quisquis per eam portam transiturus esset, pro veteri illo nullius frugis simulacro prorsusque inutili, conuenientem cultum atque debitam adorationem honoremque, multiplici titulo admirandæ miraculorum effectrici Christi Imagini redderet; sicque Edessam vrbem amicus hospes intraret. Durauitque pietatis Viri monumentum hoc ac sacra deuotio, quandiu tum ipse Augarus, tum filius, vita superstes fuit; quippe qui paterni regni pariterque pietatis successor extiterit. Horum nihilominus filius nepósque, fuit is quidem patris auique principatus successor; at nihil horum pietatis hæres; quin in pietatem, vt sic dicam, calcibus insultauit, atque ad dæmonas ac simulacra desciuit. Velut itaque dæmonibus vicem redditurus, hoc secum statuit, vt sicut auus superstitiosum simulacrum illud aboleuerat, sic ipse Dominicam Imaginem eidem noxæ subiiceret. Haud tamen vir dolo confertus, prædæ compos effectus est. Loci namque Episcopus, rei præscius, quantam licuit, ipse curam adhibuit. Quodque locus vbi Imago collocata erat, cylindri speciem referentis hæmisphærij figuram retinebat, accensa ante Imaginem lucerna, tegulaque imposita, ac tum deforis calce coctisque lateribus obstructo loci ambitu, quicquid eius erat in planam superficiem redegit: ereptaque oculis forma inuidiæ habita, à consilio ac molitio-

Detracta Imagini religio Abgari nepote tyranno, ipsa incolumis seruata.

ne impius homo abstitit. Ideo autem, vt arbitror, ante Imaginem testa Sacerdoti collocata est, ne ex situ ædificij, & calcis humore, cui impressa Imago linteum putredinis aliquid contraheret, ac per longiores temporis moras damnum acciperet.

Multum interim temporis, annorum longa serie fluxerat, exque memoria hominum & quòd erecta sacra hæc Imago, & quòd occultata, effluxerat. Vbi itaque suis, Chosroës Persarum Rex temporibus, Asiæ ciuitates diripiens, Edessam quoque petierat, valloque posito nullam non mouebat machinam, ac quicquid expugnandæ ciuitati videbatur diligenter instruxerat (constructis nimirum omnis generis tormentis, quibus tela iaceret, muros quateret, portas effringeret) Edesseni in tantum adducti periculum, ipsi quoque qua se via tuerentur aciemque opponerent, seriò cogitare. Missi legati & ad Romanorum Duces, à quibus sociali munere auxilia impetrarent. Romani tunc exercitus Prætor Helio erat, ipseque à se, Persarum vi aciei laborans, auxiliares copias sufficere Edessæ ciuibus non valebat, animos tamen scriptis literis addebat, Dominique Epistolam ac veram in eâ sententiam, quâ incolumis futura, nullaque hostium vi expugnanda ciuitas & ferretur & crederetur, in memoriam reuocabat. Porro Persæ, tum palam adoriebantur, tum ex insidiis structisque cuniculis ciuitatem tentabant. Procul igitur occepta scrobe, per subterraneos meatus sibi in vrbem aditum struebant. Cumque iam

Edessena Chosrois obsidio, diuinæ Imaginis miraculo soluta: qua de re Euagr. aliique.

ἐμβαδὸν, εἰς ὁμαλὸν ἐπιφάνειαν τὸ τεῖχος ἐπηύθυνε· καὶ ἐν τῷ μὴ ὁρᾶσθαι τὴν θεουργικὴν μορφὴν ἀπέστη τῆς ἐγχειρήσεως ἐκεῖνος ὁ δυσσεβής. ὁ δὲ κέραμος διὰ τοῦτο οἶμαι περὶ τῆς εἰκόνος τεθεῖσθαι πρὸς τοῦ ἱερέως διώριστο, ὡς ἂν μή τινα σῆψιν ἐκ τῆς ἀπὸ τῆς οἰκοδομῆς εὐρῶτος, καὶ τῆς ἐκ τῆς πηλοῦ νοτίδος ἐγγενέσθαι ἐν τῷ ὑποδοχεῖ τῆς εἰκόνος, καὶ τὴν ἐκ τοῦ χρόνου βλάβην προσδέξηται.

Ἔρρει τοίνυν ὁ χρόνος διὰ μέσου πολύς, καὶ τῆς τῶν ἀνθρώπων μνήμης ἀπερρύη καὶ ἡ ἀνάστηλωσις τῆς ἱερᾶς ταύτης εἰκόνος, καὶ ἡ ἀπόκρυψις. ὡς οὖν ἐν τοῖς οἰκείοις καιροῖς, Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς, τὰς τῆς Ἀσίας πόλεις πορθῶν καὶ πρὸς τὴν Ἔδεσσαν ἔφθασε, καὶ περὶ ταύτης περιξάμενος χάρακα πᾶσαν μηχανὴν ἐκίνει, καὶ πᾶν τὸ πρὸς ἅλωσιν πόλεως ἐπιτήδειον ὄργανον ἐξηρτύετο· ἐπεκταίνετο δὲ πάντα τὰ πρὸς ἀφέσεις βελῶν, κατασείσεις τειχῶν, διαθραύσεις πυλῶν· ἐν τοσούτῳ κινδύνῳ οἱ Ἐδεσσηνοὶ γεγονότες, ἐπὶ ὅσον μὲν τὰ δυνατὰ καὶ αὐτοὶ πρὸς τὴν ἀντιπαράταξιν· διεπρεσβεύοντο δὲ περὶ βοηθείας, καὶ πρὸς τοὺς Ῥωμαίων στρατηγούς. Ἡλίων δὲ ὁ τότε τῶν Ῥωμαϊκῶν στρατευμάτων ἡγούμενος, καὶ καθ' ἑαυτὸν ὑπὸ τῶν πολεμίων πονούμενος, τοῖς ἐν Ἐδέσσῃ συμμαχίαν πέμψαι οὐχ οἷός τε ἦν. διὰ γραμμάτων δὲ διεθάρρυνε, τῆς τοῦ Κυρίου ἀναμιμνήσκων ἐπιστολῆς, καὶ τῆς ἀψευδοῦς ἐν αὐτῇ ἀποφάσεως, δι' ἧς ἀπόρθητον τηρεῖσθαι τὴν πόλιν καὶ λέγεται, καὶ πιστεύεται. οἱ δὲ Πέρσαι μετὰ τῆς ἐμφανοῦς ἐπιθέσεως, καὶ τὰ ἀφανῶς ἐπινόουν ἐπιβουλεύματα· καὶ πόρρωθεν ὀρύττειν ἀρξάμενοι, δι' ὑπονόμων ἔνδον γενέσθαι τῆς πόλεως ἐπιχράζοντο. ὡς δὲ ἦσαν ἤδη ὕφυδροι κολυμβηταὶ

κοιλευμένου τοῦ τείχους ἐντὸς ὑπὸ γῆν, ἐκ τοιαύτης αἰτίας καταφανεῖς τῆς ἔνδον τοῦ τείχους . . . . . χαλκέα οἰκεῖν, ἢ τὰ κατὰ τὴν οἰκίαν αἰωρούμενα σκεύη χαλκᾶ ἦχον ἀπετέλει, τῶν Περσῶν ὑπὸ γῆν κοπτόντων, καὶ ἐκφορούντων τὸν χοῦν. ἐν ἀμηχανίᾳ οὖν καὶ τῇ ἐσχάτῃ ἀπογνώσει ἡ τῆς πόλεως κατάστασις, πρὸς τὸν Θεὸν καταφεύγουσι, καὶ μετ' ὀδύνης καρδίας, καὶ δακρύων ἐξεζήτουν αὐτόν. φαίνεται τοίνυν διὰ νυκτὸς τῷ Ἐπισκόπῳ· Εὐλάλιος δὲ οὗτος ἦν, γυνή τις εὐσταλὴς καὶ σεβασμία κρείττων ἢ κατὰ ἄνθρωπον, ὑποτιθεμένη αὐτῷ τὴν ἀχειροποίητον εἰκόνα λαβεῖν τοῦ Χριστοῦ, καὶ λιτανείαν μετ' αὐτῆς ποιήσασθαι· καὶ πάντως δεῖξαι τὸν κύριον τὰ θαυμάσια αὐτοῦ. ὁ δὲ Ἐπίσκοπος παντελῶς ἀγνοεῖν ἔλεγεν εἰ ἔστιν ὅλως, εἴτε παρ' αὐτοῖς, εἴτε παρ' ἄλλοις πού ἡ τοιαύτη εἰκών. τότε λέγει πρὸς αὐτὸν ἡ ἐν γυναικείῳ φαινομένη τῷ σχήματι, ὅτι ἐπάνω τῆς πύλης τῆς πόλεως ἐν τῷ τόπῳ διὰ τόνδε τὸν τρόπον ἡ τοιαύτη εἰκὼν κέκρυπται.

Ἕωθεν οὖν ὁ Ἐπίσκοπος τῷ ἐναργεῖ τῆς ὄψεως πεποιθὼς, μετὰ λιτῆς πρὸς τὸν τόπον ἦλθεν, καὶ διερευνησάμενος εὗρε τὴν θείαν ταύτην εἰκόνα ἀδιαλώβητον· καὶ τὴν θρυαλλίδα ἐν τοῖς τοσούτοις μὴ ἀποσβεσθεῖσαν ἔτεσι· καὶ ἐν τῷ πρὸς φυλακὴν ἐπιτεθέντι πρὸ τοῦ λύχνου κεράμῳ ἐπεκτυπωθὲν ἕτερον ὁμοίωμα τοῦ ὁμοιώματος· ὃ καὶ μέχρι τοῦ νῦν ἐν Ἐδέσσῃ τυγχάνει σωζόμενον. λαβὼν οὖν μετὰ χεῖρας τὸ θεῖον τοῦτο τοῦ Θεανθρώπου Χριστοῦ ἀπεικόνισμα, καὶ ἐπὶ κρείττονος ἐλπίδος γενόμενος, ἔρχεται κατ' ἐκεῖνον τὸν τόπον καθ' ὃν οἱ Περ-

iam perinde ac quidam vrinatores intra muros ex cunibulis succeſſiſſent, contigit inſidias detegi per talem occaſionem. Nimirum illa in vrbis parte faber quidam ærarius intra muros ædes habebat, cuius vaſa ænea in domo ſublimia, Perſis ſub terra tundentibus ac puluerem egerentibus, ſonitum emiſerunt. Itaque conſilij inopes, & ad extremam ciues deſperationem redacti, ad Deum confugiunt; ipſumque cordis dolore ac lacrymis exquirunt. Porrò noctu mulier quædam ornato habitu, grauique ac modeſta ſpecie, præſtantior denique quàm vt homo videretur, Epiſcopo (Eulalio huic nomen erat) apparet; monetque accepta non manufacta Chriſti Imagine, cum ipſa ſupplicationem habeat; foréque omnino vt Dominus portenta ſua ac miracula oſtendat. Aiebat Epiſcopus, neſcire ſe prorſus, an omnino talis Imago apud ciues alioſve vllos extaret. Tunc ad illum, quæ muliebri habitu ſe illi conſpicuam fecerat. Supra portam Vrbis tali loco per talem modum imaginem abſconſam, ſubjecit.

Imaginis diuina viſione inuẽtio, ac per eam hoſtiũ ſtrages.

Manè igitur Epiſcopus, aperta viſione fretus cum ſupplicatione ad locum conueniens, ſcrutanſque, integram ac incolumem diuinam offendit Imaginem; lucernam quoque tot retro annis inextinctam: inque teſta ante lucernam eius conſeruandæ cauſa impoſita, alteram Imaginis expreſſam effigiem: quæ ipſa hactenus Edeſſæ incolumis eſt. Sumpta igitur in manus diuina Chriſti Dei hominis effigie, præfidentior Epiſcopus ad locum pergit, vbi Perſæ ex vaſorum ære ſonantium tinnitu cuniculum ſtruentes deprehenſi erant: cumque ciues & ipſi intus aggreſſi, in alios

alij incurrissent, in ignem ipsis in hostes paratum ex lucerna stillantes, inque Persas in cuniculo repertos mittentes, omnes perdiderunt. Iisque demum liberati insidiis, eodem molimine etiam machinas extra muros positas adorsi, has quoque repente combusserunt: pluresque in eis militares viros sustulerunt. Iamque adeo aucti fiducia, crebros etiam è muris mittentes lapides, eorum jactu ac rotatione, impuri exercitus Duci, aliisque non paucis, necem consciuerunt. Neque id modò, sed & extrinsecus à Persis aduersus ciues accēsam pyram, quam olearum, multarumque aliarum, quas immiserant, arborum infinita aggesta materia alebat, in ipsos qui accenderant, diuinæ virtus Imaginis benignè opitulantis, conuertit. Cùm enim eam è muro desuper suis ipse manibus Eulalius explicans, ciuitatem obiret, vt ad eum locum successit, obortus repente ventus validus, in eos qui rogum accendebant, flammam conuertit; hæcque illos persecuta, haud secus ac olim Chaldæos, incendit.

σαι διορύττοντες ἀπὸ τῶν τῆς χαλκευμάτων ἤχου κατάφωροι καθεστήκεισαν. καὶ αὐξάμενοι ἔνδοθεν ὀρύττειν τῆς πόλεως, ὡς ἐγγὺς ἀλλήλων ἐγένοντο, ἀπὸ τῆς λυχνίας ἐκείνης ἔλαιον ἐπιστάξαντες εἰς τὸ κατὰ τῶν πολεμίων αὐτοῖς ἐντρεπισμένον πῦρ, καὶ κατὰ τῶν ἐν τῷ ὑπονόμῳ Περσῶν ἀφέντες, πάντας ἀπώλεσαν· καὶ τῆς ἐντεῦθεν ῥυσθέντες ἐπιβουλῆς, πρὸς τὰς ἐκτὸς τοῦ τείχους μηχανὰς τὴν ὅμοιον πεῖραν προσήνεγκαν, καὶ πάντας ἀθρόως κατέφλεξαν· καὶ πολλοὺς τῶν ἐν αὐταῖς πολεμίων ἀνάλωσαν. ἤδη δὲ ἀνατεθαῤῥηκότες, καὶ λίθων ἀφέσεις συχνῶν ἀπὸ τῶν τειχῶν ἐπεποίηντο, ὑφ' ὧν καὶ τὸν στρατοπεδάρχην τοῦ μιαροῦ στρατεύματος συνέβη πεσεῖν, καὶ ἄλλους πολλοὺς σὺν αὐτῷ. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὴν ἔξωθεν ὑπὸ τῶν Περσῶν ἀναφθεῖσαν κατὰ τῶν ἔνδον πυρὰν, ἣν ἄπειρος ὕλη ἐλαιῶν τε καὶ ἄλλων συχνῶν καταπεσόντων δένδρων ὑπέτρεφε, κατ' αὐτῶν γενέσθαι ἡ τοῦ συμμάχου θείας εἰκόνος . . . ὡς γὰρ ἄνωθεν Εὐλάλιος τοῖς οἰκείαις τοῦ τείχους ἐφαπλώσας ταύτην παλάμαις τὴν πόλιν διώδευεν, ἐξαίφνης ὡς κατὰ τὸν τόπον τοῦτον ἐγένετο, βίαιος ἄνεμος ἐξεγερθεὶς, κατὰ τῶν ἀναφλεγόντων τὴν τοιαύτην πυρκαϊὰν τὴν φλόγα ἐπέστρεψε· καὶ ἐδίωκε τούτους, καὶ ἐνεπύριζεν, ὡς τοὺς Χαλδαίους τὸ πρίν.

Syrorum traditionis testes.

Non hæc aures mulcendi causa, aut veritati fucum faciendi nullis testibus à nobis conficta narratio: quinimmò tres simul Patriarchæ, Iob Alexandrinus, Christophorus Antiochenus & Basilius Hierosolymitanus ipsi scripserunt, atque hæc sic se habere datis Theophilo Imperatori literis, qui sacrarum violator Imaginum esset, palàm fecerunt: tum nimirum, cùm longa dissertatione diuinas Imagines sanctas astruentes ac vene-

Ταῦτα οὐκ ἀμάρτυρός ἐστι λόγος εἰς ἡδονὴν ἀκοῆς, ἢ ἀπάτην παρ' ἡμῶν συμπλασθεὶς, ἀλλὰ 3. 5.
τρεῖς ὁμοῦ πατριάρχαι, Ἰὼβ Ἀλεξανδρείας, Χριστοφόρος Ἀντιοχείας, καὶ Βασίλειος Ἱεροσολύμων αὐτὰ γράψαι, καὶ οὕτως ἔχειν ταῦτα ἐγγράφως, Θεοφίλῳ γράψαντες τῷ βασιλεῖ τὰς ἱερὰς εἰκόνας ἐξυβρικότι· ὅτε διὰ πολλῶν ἀποδεικνύοντες τὸ τῶν θείων εἰκόνων ἱερὸν καὶ σεβάσμιον, καὶ περὶ τούτου

διηγήσατο· καὶ ἔξεστι βουλομένῳ τὴν πολύστιχον ἐκείνην ἐπιστολὴν ἀναλέξασθαι, καὶ περὶ τούτου μαθεῖν. ἀλλὰ καὶ τῇ Εὐαγρίου ἐκκλησιαστικῇ ἱστορίᾳ εἴ τις φιλοπόνως ἐνέτυχεν, ἔγνω πάντως οἷα περὶ τῆς ἱερᾶς ταύτης εἰκόνος κατὰ τὸν τέταρτον λόγον φησί. ἀναγράφει γὰρ, ὡς μετὰ τῶν ἄλλων ὁ Χοσρόης καὶ τοῦτο πεποίηκε, θέλων ἐπιφανῶς ἐλέγξαι ψευδῆ τὸν παρὰ Χριστιανοῖς θρυλλούμενον περὶ τῆς τοιαύτης πόλεως λόγον, ὡς εἴη ἀπόρθητος. ξύλων γάρ τι μέγα χρῆμα, καὶ πλῆθος ἄπειρον ἐν βραχεῖ τῇ τοῦ στρατεύματος πολυχειρίᾳ συναθροίσας ἐξ ἐπιτάγματος, καὶ ταῦτα κατὰ δύο τείχεις πηξάμενος κύκλῳ τῆς πόλεως· εἶτα χοῦν κατὰ τὸ μέσον ἐπεμβαλὼν, καὶ ἀντιμέτωπον ἄλλο τεῖχος οἰκοδομῶν, ὑψηλότερος ἐγίνετο τῶν τῆς Ἐδέσσης τειχῶν, καὶ ὡς ἐξ ὑπερδεξίων τὰ βέλη κατὰ τῶν ὑπὲρ τῆς πόλεως προκινδυνευόντων ὅσον οὔπω ἀφίεσθαι ἔμελλεν· ὅπερ οἱ Ἐδεσσηνοὶ ὡς ὄρος ἀντικρὺ τῶν τειχῶν ὁρῶντες ἐξεγειρόμενον, δι' οὗ ὡς ἐκ τοῦ ἰσοπέδου τοὺς πολεμίους ἐπιβῆναι τοῦ ἄστεος ἤλπιζον· ἐν ἀμηχανίᾳ καίπερ ὄντες, ἀντιμηχανώμενοι δὲ ὅμως τὰ δυνατὰ καὶ οὗτοι, διώρυγμα ἐπεχείρησαν πρὸ τοῦ νεοστάτου ἐκείνου τείχους ὀρύξασθαι,
4. ὡς ἂν εἰ δυνηθεῖεν 4 τὰ πρὸ τοῦ χώματος ὑφάψαι σταυρώματα, πρὸς τὴν διώρυχα τὸν χοῦν ὑποσπάσονται, καὶ οὕτως τὸ μέγα τεῖχος ἐκεῖνο εἰς οὐδὲν ἐξ ὀνείρου ἀναπλασθὲν, θᾶττον κατενεχθῇ καὶ διαρρυῇ. ἐπεὶ δὲ τὸ μὲν ὄρυγμα διήνυστο, πῦρ δὲ τοῖς ξύλοις ἀφιέντες τοῦ σκοποῦ διημάρτανον, μὴ δυναμένου τοῦ πυρὸς διὰ τὸ συμπεπιλημένον ἔνδον εἶναι τὸν χοῦν, καὶ τὰ ξύλα ἔτι χλωρὰ καινοῦ τινος δίχα τῆς

ratione habendas, iſtud quoque tractarunt: ac licet noſſe, ſi quis in multos verſus fuſam eam Epiſtolam vt legat, in animum induxerit. Sed & Euagrij Eccleſiaſticam Hiſtoriam ſi quis attentius legerit, planè nouit quanta ille de hac ſacra Imagine libro quarto ſcribit. Refert enim, quòd cùm aliis de cauſis, tum ob eam potiſſimum rationem Choſroës exercitum duxerit, vt apertè oſtenderet eſſe falſum, quod de Edeſſa ciuitate Chriſtiani iactabant, eam nulla vi expugnari poſſe ac diripi. Cum enim ingentem lignorum ſtruem & penè infinitam confertâ militum manu ſuccedanea ope opus maturantium, breui coëgiſſet, atque his fixo vallo, duplici quaſi muro ciuitatem cinxiſſet, tumque mediam aream ingeſta humo oppleuiſſet, inde ſurgens oppoſitus murus alius, ciuitatis mœnibus altior effectus eſt, moxque futurum erat, vt è ſuperioribus in præſidiarios iaculorum imber depluerer. Vident itaque ciues ex aduerſo murorum velut montem aſſurgere, per quem hoſtes, quaſi ex plano haud incerto euentu in vrbem ingreſſuri eſſent. Quanquam igitur vix non conſilij inopes, ipſi quoque quanta facultas aduerſo molimine; obiectam nouo illi muro foſſam ducere; in cuius voraginem, ſi modò liceret communientes vallos ſuccendere, detracto aggere, ea ratione velut inſomnio repente enatum ingentem illum murum peſſundarent ac ſolo æquarent. At vbi abſoluta quidem foſſa eſt, ignisque lignis immiſſus, nec ex voto res ſuccedebat, quòd humo conſtipata, ac cùm ligna adhuc viridia eſſent, non poterat ignis abſque nouo pabulo vallum corripere; in foſſam re-

Euagrio paulò aliter narrata hiſtoria.

center ductam sacra hæc adducta Imago, exque illa sanctificata aqua asperso rogo, effectum est, vt flamma viuax atque efficax exiret; fuitque igni olei loco, aqua; diuina virtute his, qui rem moliti erant, propitia: indeque succensa flamma absumptum, quicquid obuium erat. Tunc ergo Persarum Rex vrbis expugnandæ spe amissa, ac cum non lateret vnde ciuibus corrogata auxilia, ad conuentiones adjecit animum, percussoque pacis fœdere in suam regionem reuersus est.

ὕλης ἐμπειδεράξασθαι, τὴν ἱερὰν ταύτην εἰκόνα εἰς τὴν νεότευκτον ἐκείνην τάφρον εἰσαγαγόντες, καὶ ὕδωρ ἐκ ταύτης καθαγιάσαντες, καὶ ὑπὸ τῇ πυρᾷ, καὶ τοῖς ξύλοις περιστεράναντες, ἐνεργὲν γενέσθαι τὸ πῦρ κατεπράξαντο· καὶ τῇ πίστει τῶν δεδρακότων τῆς θείας συνεπιλαβομένης δυνάμεως, ὡς ἔλαιον τὸ ὕδωρ ἐγένετο τῷ πυρί, καὶ ἐξῆψε τὴν φλόγα, καὶ κατηνάλωσεν ἅπαν τὸ προστυχόν. τότε οὖν ὁ Περσῶν βασιλεὺς τὴν ἅλωσιν τῆς πόλεως ἀπογνούς, καὶ τὴν βοήθειαν ὅθεν εἶχεν μαθών, πρὸς συμβιβάσεις ἐχώρησε, καὶ σπονδὰς εἰρηνικὰς ποιησάμενος, πρὸς τὰ οἰκεῖα αὖθις ἐνόστησεν.

Chosrois filia a dæmone liberata.

Erat autem hic quoque, haud ita pôst ab hac sacra Imagine beneficium accepturus, hostes demerente, eiusque necessariorum hostibus exitium parante. Regis enim filia, quam malus dæmon inuaserat, mentisque statu, qui ex natura est, dejecerat, obsidentis afflatu dæmonis continuè clamabat: Qui in puella domicilium habet spiritus, non egressurum, nisi Imaginis non manufactæ Edessâ aduentu ac præsentia. Audiuit Rex, ac secum animo reputans, quæ in obsidione gesta acciderant (nec enim inaudita repente Edessenorum fortitudo audaciaque eum latuerat) missis statim ad ciuitatis Præsidem, Eulaliumque Metropolitam, ac ciuitatis ipsum commune, literis, diuinam ad se citiùs, summaque vi pollentem mitti petit Imaginem; omnino rogans ne preces cassæ eant. Illi autem, tum gentis infidos mores suspectos habentes, tum veriti ne Persarum Rex hoc moliretur, vt ipsorum eis robur ac præsidium auferret; serioque cogitantes ne temerè proderent, qua res illis in tuto positæ essent, ac

Ἔμελλε δὲ ἄρα καὶ αὐτὸς οὐκ εἰς μακρὰν εὐεργεσίας τυχεῖν ἀπὸ τῆς ἱερᾶς ταύτης εἰκόνος, ὁ τῶν πολε- 5.
μίων αὐτοῦ εὐεργέτιδος, καὶ τῶν ἑαυτοῦ ἀναιρετίδος. τὸ γὰρ τούτου θυγάτριον ὑπὸ δαιμονίου πνεύματος συσχεθέν, καὶ τῆς κατὰ φύσιν ἐκστὰν καταστάσεως, ἐβόα συνεχῶς δι' αὐτοῦ ἐνεργούμενον· εἰ μὴ ἐξ Ἐδέσσης ἡ ἀχειροποίητος ἔλθῃ εἰκών, ἐντεῦθεν τὸ ἔνοικον τούτου μὴ ἐξελεύσεσθαι. ὅπερ ἀκούσας ὁ βασιλεύς, καὶ τὰ ἐπὶ τῆς πολιορκίας λογισάμενος· οὐδὲ γὰρ οὐδ' αὐτὸν ἡ παράδοξος ἐξαίφνης ἰσχύς, καὶ τὸ θάρσος διέλαθε τῶν Ἐδεσσηνῶν, γράφει παραχρῆμα πρός τε τὸν τῆς πόλεως προεξάρχοντα, καὶ πρὸς τὸν μητροπολίτην Εὐλάλιον, καὶ πρὸς τὸ κοινὸν τῆς πόλεως, ἀποστεῖλαι θᾶττον αὐτῷ τὸ θεῖον καὶ πανσθενὲς ἀπεικόνισμα, προσθεὶς καὶ τὴν αἰτίαν τὴν τῆς θυγατρὸς συμφορᾶς· καὶ παντοίως ἀξιῶν τε καὶ βιαζόμενος, μὴ ἀποτυχεῖν τῆς αἰτήσεως. οἱ δὲ τό, τε τοῦ Περσικοῦ ἤθους ἄπιστον ὑπονοοῦντες καὶ ὑποπτεύοντες δόλῳ βούλεσθαι τὸν Πέρσην τὴν ἑαυτῶν ὠφελεῖσθαι

ἰδμῶ, καὶ μὴ περιέσθαι τὴν προστάτιν καὶ εὐεργέτιδα στερούμενοι, ἀλλὰ μηδὲ τὴν εἰρήνην λύσαι τῆς τοιαύτης προφάσεως ἕνεκα, βουλὴν βουλεύονται συνετὴν καὶ λυσιτελοῦσαν αὐτοῖς. μεταχαράξαντες γὰρ ἴσην κατὰ πάντα, καὶ ὁμοίαν ὡς ἐνῆν εἰκόνα τῆς ἀγράπτου γραπτὴν, καὶ πρὸς τὸ ἐμφερὲς κατὰ τὸ δυνατὸν ἀπεικάσαντες, πρὸς τὸν αἰτησάμενον ἀποστέλλουσι. ὡς δὲ ἐντὸς τῶν τῆς Περσίδος ὁρίων ἐγένοντο οἱ τὴν εἰκόνα διακομίζοντες, εὐθέως διὰ τῆς τοῦ βασιλέως θυγατρὸς ὁ δαίμων ἀνέκραξε, θᾶττον ἐξέρχεσθαι, καὶ διαμείβειν τὴν οἴκησιν τῆς τοῦ ἐρχομένου δυνάμεως ἕνεκα, μόνον εἰ τὸ μετακληθὲν ἀποστραφείη ὁμοίωμα, καὶ μὴ τοῖς βασιλείοις, μηδὲ τῇ πόλει Περσῶν προσπελάσει· καὶ πρὸς τοῦτο πολλὰ τοῦ βασιλέως ἐδεῖτο καὶ καθικέτευεν. ὑποσχομένου δὲ βασιλέως, ἐξελθόντος ἀπὸ τῆς κόρης τοῦ δαίμονος, καὶ ἐν ὑγείᾳ καταστάσει γενομένης τῆς βασιλείου παιδὸς, ὁ Χοσρόης, εἴτε τὴν τοῦ αἰτησαμένου δαίμονος ἀξίωσιν ἐκπληρῶν, καὶ τὴν ὑπόσχεσιν ἐμπεδῶν, εἴτε τὴν τοῦ ἐρχομένου δύναμιν δεδιὼς διὰ τὸ σαθρὸν αὐτοῦ τῶν ἔργων καὶ μιαρὸν, ἀποστείλας ὑποστρέψαι πρὸς τὴν ἀφ' ἧς ἐξῆλθε πόλιν τὴν τοιαύτην εἰκόνα ἐκέλευσε· καὶ δῶρα προσθεὶς παρ' ἑαυτοῦ πρὸς τοὺς ταύτην ἐκπέμψαντας.

vnde beneficia affluerent; cumque nihilominus eâ occasione pacem dissoluere nollent, solers atque oppidò vtile consilium ineunt. Ex primo scilicet exemplari, aliam omnino æqualem, ac quam licuit similem ducentes Imaginem; ex non picta, artis operâ pictam, summa quadam possibili illius imitatione, ad Regem qui popoſcerat, ablegant. Vixque adeò sacræ sarcinæ bajuli Persarum fines intrauerant, cum statim dæmon puellæ ore clamat: Mox se exiturum ac hospitio migraturum, modò solum accersita Imago reuerteretur, ac neque ad regiam, neque ad Persarum ciuitatem accederet. Id dæmon à Rege magnopere contendebat, supplexque efflagitabat. Pollicetur Rex; egressóque dæmone ac filia sanitati reddita, fidem Chosroës liberaturus, quam obstrinxerat dæmoni, atque promissum seruaturus, siue etiam propter mala opera & impura, venientis potentiam veritus, vt in vrbem vnde exierat Imago referatur, iubet, ac præterea eos qui miserant muneribus donat.

Ἦν οὖν παρὰ τοῖς Ἐδεσσηνοῖς ὁ πολύτιμος ὄλβος οὗτος, ὁ ἀκένωτος θησαυρὸς, ἡ εἰκὼν ἡ πρωτότυπός τε καὶ ἄγραφος, τιμωμένη ἀεὶ πρὸς αὐτῶν, καὶ ἀντιπεριέπουσα αὐτούς. ἐπεὶ δὲ πρὸς τὴν βασιλεύουσαν ταύτην τῶν πόλεων τὰ πανταχόθεν συνερρύηκεν ἀγαθώτατά τε καὶ κάλλιστα· ἦν δὲ ἄρα θεῖόν τι βούλημα καὶ τὴν ἱερὰν ταύτην εἰκόνα ἐνταῦθα μετὰ τῶν ἄλλων ἀποθησαυρισθῆναι καλῶν· ὁ τῆς Ῥωμαίων κυριεύων ἀρχῆς Ῥωμανὸς σπούδασμα ποιε-

λακτον. ὁ δὲ, καὶ τὴν πατρίδα γνωρίζει, καὶ τὴν ἀπὸ Παλαιστίνης ἄφιξιν ἀπαγγέλλει· καὶ ὅτι μὴ ἐκεῖνον ὑποστέλλεσθαι δεῖν καὶ πρὸς βασιλέως, ἡνίκα Βασιλέα ἴδοι τὸν ἐν οὐρανοῖς ὑβριζόμενον. εἶτα διασαφεῖ τὰ τοῦ δόγματος. διδάσκει τὴν τῶν θείων εἰκόνων τιμήν· ἄλλα τε εἰπὼν, καὶ προσθεὶς, ὅτι δεῖγμα τοῦτο τοῦ πρὸς Χριστὸν πόθου, καὶ ὁμολογία τῆς ἐκείνου σαρκώσεως· ἔπειτα καθαιρεῖ τὰ ἐκείνου προβλήματα, πίστει Χριστοῦ καὶ δυνάμει λόγου καὶ πνεύματος. ἐπεὶ δὲ καὶ πολλῶν μεταξὺ ῥηθέντων, οἱ Θεοδώρου λόγοι τὴν νικῶσαν εἶχον, θαυμάζει πρῶτον ὁ βασιλεύς· εἶτα καὶ θεραπεύειν ἐπιχειρεῖ, ἄνδρα τοιοῦτον ὑποποιήσασθαι προθυμούμενος, δι' οὗ πολλῶν περιέσεσθαι δυνατὸς ἔσται. ὡς δὲ ἀχείρωτον αὐτὸν ἑώρα τῆς ἐκείνου λαβαῖς· προστίθησι γὰρ καί τι τοιοῦτον πρὸς αὐτόν.

Ἐπιλέλησαι λέγων τῶν συνθηκῶν ὧν ἔθου πρὸς Θεὸν, βασιλεῦ· ὧν ἄρα μεσίτης ὁ μέγας ἀρχιερεὺς γέγονεν, ἡνίκα σου τῇ κεφαλῇ τὸ βασιλικὸν ἐπετίθει στέφανον; φεῖσαι τῆς ἑαυτοῦ ψυχῆς, καὶ τὸν πρότερον κόσμον ἀπόδος τῇ ἐκκλησίᾳ· καὶ μὴ διαμάχου Θεῷ, κριτῇ δικαίῳ καὶ ἰσχυρῷ, κἂν εἰ μὴ τὴν ὀργὴν ἐπάγῃ καθ' ἑκάστην ἡμέραν διὰ περιουσίαν χρηστότητος.

Ταῦτα ὁ μὲν οὕτω πρὸς αὐτὸν διεπαῤῥησιάσατο. ὁ δὲ, τὸ πρόσχημα τῆς ἐπιεικείας λύσας, πρὸς ὀργὴν ἐξήγετο καὶ μανίαν· καὶ εἴ τις Θεοδώρῳ σύμψυχος, ἢ ὁμόδοξος τὴν εὐσέβειαν, ἀνηρεύνα. ἐπεὶ οὖν αὐτῷ δῆλα καὶ τὰ περὶ Θεοφάνους κατέστη τοῦ ἀδελφοῦ, καὶ ὅτι μηδὲν ἧττον τῆς φύσεως διασώ-

libertas vellet. Ille autem & significat patriam, & suum ex Palæstina aduentum renunciat; nec sibi liberum putauisse, vt vel Imperatoris metu à dicendi libertate discederet, cùm Regem qui in cœlis est, iniuria violari conspiceret. Deinde, quæ doctrinæ sunt, aperit: docet diuinarum cultum Imaginum. Et cùm alia dixisset, & adjecisset, ecce hoc indicium nostri in Christum amoris, & confessionem ab eo susceptæ carnis; postremò illius objecta, Christi fide, sermonisque virtute ac spiritus, euertit. Postquam autem hinc inde multis collatis sermonibus, Theodorus disputatione victor extiterat, primùm miratur Imperator; deinde etiam blanditiis aggreditur, virum tantum addicere satagens, per quem multos esset deuicturus. Vbi autem vidit eius abs se constantiam nulla vi posse expugnari, nam & eiusmodi quidpiam ad eum adjecerat.

Oblitus es, ô Imperator, quæ cum Deo pacta inieras; quorum sequester magnus Antistes fuit, tum, cùm tuo capiti Imperialem coronam imposuit? Parce animæ tuæ, ac priorem ornatum Ecclesiæ restitue; nolique cum Deo, qui iudex iustus ac potens est, etsi non quotidie iram infligit (quæ eius bonitatis abundantia est) pugna contendere.

Hæc ille quidem sic apud eum libere locutus est. Imperator autem lenitatis prætextu soluto, in iram furoremque erupit; ac rogat, num aliquis eiusdem cum Theodoro animi, eiusdemque, ad fidem quod attinet, cum eo sententiæ? Postquam verò intellexit de eius etiam fratre Theophane, quodque is non

Quid nobis velint sacræ Imagines.

Tradunt omnes, qui eius res à Theophane sunt prosecuti.

Psal 7. v. 12.

Theodorus & Theophanes flagris cæsi, & in exilium acti.

minus quàm naturâ, dogmatis quoque obnixe affinis germanusque consistit, ambos diu flagris cæsos, ad Ponti ostia exilio relegandos decernit; iubetque neminem cibum vllum aut potum, vel vestimentum illis impertiri; quò sic mali malè exterantur, inquit.

Verùm, Tyrannum quidem hoc se modo gerere, docebat improbitas: Nihil enim sceleris est, quod non propensè vir iniustus arripiat. Quod tamen is, qui iusta iudicat Deus, non diu iram differat, non multum temporis intercessit, cum iste, cui & nomen cum bestiis commune & ipsa res nominis, vnà cum tyrannide vitam finit. De medio enim à Michaële Balbo sublatus: Malè, malo, aiunt, adhibitum remedium. Christi dies Natalis erat, eiusque sanguis effunditur; non vt alicuius ex Infantibus, qui Deo pro nobis nato offerretur: sed potius vt Herodis, ad multarum sanctarum Animarum, quas ille per vim opprimebat, eluendam pœnam. Suscipitque locus sanctus piaculum; & (ô diuina iudicia!) ipsa, inquam, ara, in quam ille mentitus erat, pollicitus nihil se ex sacris dogmatis mutaturum, ac cuius pulchrum ornatum Imaginũ aboleuerat. Quod cum ita contigisset, paululum ab exilio malisque aliis relaxati viri generosissimi, Vrbem Augustam petunt, cùm scilicet nouus Imperator, laruata quadam humanatis specie reuocari iussisset. Reuera enim nihil decessore impietate minor; persequendi sæuitia tantisper mitior erat.

Leonis occisio.

Michaël Balbus mitior tyrannus ipse Iconomachus.

Sanctorum fratrum opera Constantinopoli.

Atque illi quidem cùm venissent in ciuitatem, ac rursus pietatem liberè prædicarent, multos quidem reliqui vulgi,

ζων ἐπὶ κἀν τοῖς δόγμασι τὸ συγγενὲς καὶ αὐτάδελφον. μάστιξιν ἀμφοτέρους κολάσας συχναῖς, εἶτα καὶ ὑπερορίαν αὐτῶν ἐν τῷ τοῦ Πόντου στόματι κατακείνειν κελεύσας μὴ βρωτοῦ τινος, μὴ ποτοῦ, μὴ ἐνδύματος, μηδένα τῶν πάντων αὐτοῖς κοινωνεῖν, ἵνα κακοί, φησίν, οὕτω κακῶς ἐκτρίβοιεν.

Ἀλλὰ τὸν τύραννον μὲν ἡ κακία πράττειν οὕτως ἐδίδασκεν. οὐδὲν γὰρ κακόν, ὃ μὴ αἱρεῖται ὁ ἄδικος. ἐπεὶ δὲ μὴ ἐπὶ πολὺ τὴν ὀργὴν ὁ δίκαια κρίνων Θεὸς ἀνεβάλλετο, οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ θηρσὶν οὗτος ὀνόματός τε καὶ πράγματος κοινωνῶν, συγκαταλύει τῇ τυραννίδι τὸν βίον. ἀναιρεῖται γὰρ ὑπὸ Μιχαὴλ, ᾧ Τραυλὸς ἡ ἐπωνυμία, κακῶς φασὶ τὸ κακὸν ἰώμενον. ἡμέρα δὲ ἦν, ἡ τῶν τοῦ Χριστοῦ γενεθλίων, καὶ αἷμα τούτου κινεῖται· οὐχ ὡς δή τινος τῶν νηπίων τῷ ὑπὲρ ἡμῶν τεχθέντι Χριστῷ προσαγόμενον· ἀλλ' ὡς Ἡρῴδου μᾶλλον, εἰς πολλῶν ἁγίων ψυχῶν ἔκτισιν τῶν ὑπ' ἐκείνου τυραννουμένων. τόπος δὲ ὑποδέχεται τὸ ἐναγές, ἅγιος· καί, ὦ τῶν τοῦ Θεοῦ θείων κριμάτων· αὐτό φημι τὸ θυσιαστήριον. οὗ τὸ αὐτὸς κατεψεύσατο, τὰς συνθήκας διδούς, μηδὲν τῶν ἱερῶν δογμάτων μετακινῆσαι, καὶ οὗ ἀφ' τὸν καλὸν κόσμον ἐκεῖνος ἠμαύρωσε τῶν εἰκόνων. οὗ γενομένου, καὶ μικρὸν τῆς ἐξορίας καὶ τῶν ἄλλων κακῶν ἀνεθέντες, οἱ γενναιότατοι, τὴν βασιλίδα καταλαμβάνουσι, τοῦ νέου βασιλέως, τὸ δοκεῖν ἐκ φιλανθρωπίας ἐπιτρέψαντος τὴν ἀνάκλησιν. τῆς γὰρ ἀληθείας, οὐδὲν τοῦ προλαβόντος ἧττον ὢν τὴν δυσσέβειαν, περὶ τὸν διωγμὸν ἧττον ἦν.

Ἐκεῖνοι μὲν δὴ παρὰ τῇ πόλει γενόμενοι, καὶ αὖθις τὸ εὐσεβὲς παρρησιασάμενοι, πολλοὺς μὲν τοῦ λοιποῦ

λοιποῦ πλήθους· ἔτι καὶ αὐτῶν τῶν ἐν τέλει, συμφρονας προσλαμβάνουσι· τοῦτο μὲν, καὶ διὰ τῆς τῶν κανόνων ἐκθέσεως, οὓς Θεοφάνης ὁ γνήσιος ἀδελφὸς ἐμελῴδησε· τοῦτο δὲ, καὶ διὰ τῆς τῶν λόγων ἀντιθέσεως, οὓς ὁ μέγας οὗτος Θεόδωρος συνεγράψατο.

Πλὴν ἀλλὰ τὴν τοσαύτην τῶν ἀνδρῶν ἀρετὴν Ἰαννῆς ὁ Αἰγύπτιος μάγος, καὶ ὁ Ἰαμβρῆ ὁ μύστος, μὴ φέρων ὁρᾶν οὕτω φανερῶς λάμπουσαν, ἐν φρουρᾷ κατακλείει· καὶ τελευταῖον τοῖς λόγοις προσβαλών, ἐπεὶ μὴ οἷός τε ἦν πρὸς ἐκείνοις ἀγωνίζεσθαι· ἀλλὰ, τὸ τοῦ λόγου· πρὸς λέοντα δορκὰς ἥπτετο μάχης, βίᾳ πάλιν αὐτοὺς ἀπελαύνει τῆς πόλεως, ἅτε δὴ παρὰ βασιλεῖ τὰ μέγιστα δυνάμενος· ἅμα μὲν διὰ τὸ ὁμόδοξον· ἅμα δὲ καὶ ὃ περιεβέβλητο τῶν μοναχῶν σχῆμα, καὶ τὴν ἐπικεχρωσμένην αὐτῷ εὐσέβειαν, ἐφ' ἧς καὶ τὸν βασιλέα, καὶ πολλοὺς τῶν ἐν τέλει, ὁ μιαρὸς παρεκρούετο, καὶ τοῦ πατριαρχικοῦ θρόνου μετ' ὀλίγον ἀναξίως ἐπέβη. καὶ οἱ μὲν οὕτω τῆς πόλεως ἐξωθούμενοι, ὡς πατρίδα διὰ Χριστὸν τὴν ξένην ἑώρων, ανὰ τὸν τόπον, ὃς οὕτω καλεῖται, Σωσθένιον, διατρίβοντες.

Ἐπεὶ δὲ καὶ Μιχαὴλ ἐτελεύτα ὁ δυσσεβὴς βασιλεὺς, τῷ δυσσεβεστέρῳ παιδὶ Θεοφίλῳ καταλείπει τὴν βασιλείαν· ὃς οὕτως ἀντεποιήθη τοῦ πονηροῦ τούτου δόγματος, καὶ οὕτως ὤφθη βαρὺς τοῖς τὴν εὐσέβειαν διηκριβωμένοις, ὡς μικροῦ πάντας τοὺς φθάσαντας κακοδόξους, ψυχροὺς ἀποδεῖξαι καὶ μαλακοὺς περὶ τὴν δυσσέβειαν. ἐντεῦθεν διωγμοὶ πάλιν κατὰ τῶν εὐσεβούντων· καὶ πάλιν ἱερῶν εἰ-

vulgi, adhuc autem & Senatorij ordinis, in suam sententiam adducunt: partim quidem expositione Canonum, quos Theodori germanus frater Theophanes versibus cecinit; partim verò etiam oppositionum libris, quos magnus hic Theodorus conscripsit.

Ioannes Theophilo Imperatore pseudo-patriarcha.

Verumenim vero cum tantam virorum virtutem Iannes ille Magus Ægyptius & Iambris sodalis, sic apertè emicantem videre non ferret, eos in carcere includit: ac postremò cum eis sermone congressus, qui impar certamini esset (sed, quod fertur adagio, Caprea cum Leone pugnam iniret) vi rursus eos expellit è ciuitate, qua apud Imperatorem (eaque magna) auctoritate pollebat; tum quod eiusdem ac ille sententiæ erat, tum quod etiam Monastico habitu indutus erat, ac pietatis laruam præferebat: cuius specie obrepens, scelestissimus homo, cùm Imperatorem decepit, tum plures Senatorij Ordinis, ac breui post Patriarchalem Sedem indignus incessit. Et illi quidem sic ciuitate pulsi, velut patriam, externam regionem Christi causa cernebant; inque loco, quem Sosthenium vocant, agebant.

Theophili Imperium, inque fideles sæuitia.

Quòd autem etiam Michaël impius Imperator viuis excedens, Theophilo filio Imperiū reliquerat; cuius, paternâ, longè maior impietas erat (Sic namque ille prauum illud dogma colebat, sicque in omnes propensius pietate excultos, morosus sæuusque fuit, vt parum absit, quin superiores omnes prauæ opinionis tenaces Imperatores, frigidos mollesque impietatis ergo ostenderit.) Inde rursus conflatæ piis perse-

cutiones; rursusque euersæ sacræ Imagines; expedita rursus tormenta & tribunalia carceresque, ac modus omnis iniuriæ aduersus pietatem excitatus. Hinc Theodorus vnà cum fratre delatus, & quod pius esset, accusatus. Cuius pietatis ergo, quod non ille supplicij genus sustinuit; vel potius, quam non suscepit coronam martyrij? Non tolerantiæ? Non libertatis dicendi? Non zeli, quo concitatus quotidie Domino certamen desudabat? Martyr inter Martyres, & Confessor effectus per ea quæ obiit pro Christo certamina. Illius porro fortitudinem animi inuictamque constantiam magis ostendit, quem tolerauit diuturnus carcer, variaque tormentorum genera, quæ filius à patre in hunc vsque diem suscipientes, obliuione superiora præstiterunt, & vt scripto consignarentur, auctores fuerunt.

Theodori sub illo certamina.

Ab his suppliciis, multi quidem ex iis, qui comprehensi erant, victi; tametsi pœnitentia reparata pugna, id resarciit, quod victi extiterant: plures verò spe animati ac in Christum desiderio generoso fortiq; animo contẽpserunt, quibus cum hic quoque diuinus vir, nedum nihil oblatis cessit muneribus, sed & flagris ac verberibus laceratus, nemo facilè dicat quantam fortitudinem ostenderit, effectus compugilibus patientiæ exemplar eiusmodi, quod ægrè quis imitando assequi possit. Denique cùm & corpore iam verberibus dirè lacerato, eius cruore solum commaderet, ipse velut nullo doloris sensu sustinens, in medio iudicij loco nudus stabat, haud secus ac mundo quodam plagis magnificè glorians, atque in eum modum, vti Paulus au-

Pugilum in causa Imaginum victoria & clades.

Theodori singularis constantia.

1. Cor. 4. v. 9

κόνων καταστροφαί, καὶ βάσανα πάλιν, καὶ δικαστήρια καὶ φρουραί, καὶ πᾶς ἀδικίας τρόπος κατὰ τῆς εὐσεβείας κινούμενος. ἐντεῦθεν Θεόδωρος σὺν ἅμα τῷ ἀδελφῷ ἐναγόμενος, καὶ τὴν εὐσέβειαν ἐγκαλούμενος· ὑπὲρ ἧς, ποῖον μὲν εἶδος οὐχ ὑπέστη κολάσεως· μᾶλλον δὲ μαρτυρίας, ποῖον οὐκ ἐστέψατο στέφανον· οὐ τὸν τῆς ὑπομονῆς; οὐ τὸν τῆς παῤῥησίας; οὐ τὸν ζῆλον, ὃν ἐζηλωκὼς τῷ Κυρίῳ καθ' ἡμέραν διηγωνίζετο; μάρτυς ἐν μάρτυσι· καὶ ὁμολογητὴς δι' αὐτῶν τῶν ὑπὲρ Χριστοῦ ἀγώνων γενόμενος. παρίστησι δὲ τὰ ἐκείνου πλέον, ἡ πολυήμερος ἣν ὑπέστη φρουρά, καὶ τὰ πολυειδῆ τῶν κολάσεων, ἃ παῖς παρὰ πατρὸς μέχρι τοῦ δεῦρο διαδεχόμενοι, λήθης τε ἀνώτερα γενέσθαι, καὶ δεδῶναι γραφῇ πεποιήκασι.

Τούτων δὴ τῶν κολάσεων, πολλοὶ μὲν τῶν συλληφθέντων ἡττήθησαν, κἂν ἡ μεταμέλεια 8 τὴν ἧτταν ἀντεμαχέσατο· οἱ πλείους δέ, διὰ τὴν ἐλπίδα, καὶ τὸν εἰς Χριστὸν πόθον, εὐγενῶς κατεφρόνησαν· μεθ' ὧν καὶ ὁ θεοφόρος οὗτος ἀνήρ, μετὰ τοῦ μηδὲν ἐνδοῦναι, πρὸς τὰς ἐπαγγελλομένας εὐεργεσίας, ἔτι καὶ τοῖς ἱμᾶσι καταξαινόμενος, οὐ μὲν ἂν εἴποι τις ὅσην ἐπεδείξατο τὴν καρτερίαν, τοῖς συναθλοῦσιν ἀρχέτυπον ὑπομονῆς, οὐ τὴν μίμησιν εὐπετῆ, γινόμενος. ἀμέλει καὶ τοῦ σώματος ἤδη καταξανθέντος αὐτῷ ταῖς μάστιξι, καὶ αἵματι τὸ ἔδαφος ἐπιχώσαντος, αὐτὸς ὡς οὐδεμίαν τῶν ἀλγεινῶν αἴσθησιν ὑπομείνας, εἱστήκει γυμνὸς ἐν μέσῳ τοῦ βήματος, ὥσπερ τινὶ κόσμῳ τοῖς πληγαῖς ἐγκαλλωπιζόμενος, καὶ διαπρέπων &.

ὤτω καὶ ἀγγέλοις καὶ ἀνθρώποις, κατὰ Παῦλον γενόμενος. τοῦ ἐπάρχου δὲ τὴν ἐπίμονον ταύτην γύμνωσιν δυσχεράναντος, Ἐγώ, φησιν ὁ ἀθλητής, ἐπὶ τούτῳ γυμνὸς ἵσταμαι, ἵν' εἴ τινα τῶν ἀθλητῶν ἐπικάμνοντα τοῖς ἀλγεινοῖς θεάσωμαι, τὸ ἐκείνου ὑστέρημα ἐν τῷ ἐμῷ σώματι εὐψύχως ἀναπληρώσω. εὖγε τῆς τοῦ ἀνδρὸς καρτερίας, τῆς παρρησίας, τῆς πρὸς τὸν δεσπότην θερμότητος.

Πάλιν οὖν εἶχεν αὐτοὺς ἡ ὑπερορία, νῆσον ἐκείνην ἣν συνήθης Ἀφουσίαν καλεῖν, κατακλεισθέντας. ἀλλὰ τί μοι τὰ ἐντεῦθεν ἀπαριθμεῖσθαι, τὰς φυλακάς, τὰ ναυάγια, τὸν λιμόν, τὰς ἡλιακὰς ἐκκαύσεις; τὰς νυκτερινὰς ψύξεις, τὰς ἐπιβουλάς, τὰς ἐπαναστάσεις, τοὺς καθ' ἡμέραν θανάτους, τὰς πληγὰς πάλιν, τοὺς ῥαβδισμούς, καὶ τὰ ἐπὶ κόρρης ῥαπίσματα. πλὴν ὅτι καὶ ταῦτα τρυφήσαντες μετά γε τῆς πολυημέρου ὑπερορίας, δυσὶν ὕστερον χρόνοις μόνοι τῶν ἄλλων ὑπὸ βασιλικῷ κελεύσματι, φθάνουσι τὴν Κωνσταντινούπολιν. ἔρως γὰρ εἶχε τὸν βασιλέα, κἂν κενὸς ἦν καὶ μάταιος, Θεόδωρον δήπου καὶ Θεοφάνην τὰ αὐτὰ ἐκείνῳ φρονοῦντας ἔχειν, ἢ πάντων ἄρχειν πρὸς οὐδὲν αὐτῷ διαφερομένων.

Ἀλλὰ γὰρ ἄξιον τὰ ἑξῆς δι' αὐτῶν ἐκείνων τῶν τῆς ἐπιστολῆς δηλῶσαι ῥημάτων, οἷς ὁ θεοφόρος οὗτος Θεόδωρος κοινὴν ἅμα τῷ ἀδελφῷ συνθεὶς τὴν ἐπιστολήν, Ἰωάννῃ τῷ τῆς κατὰ Κύζικον ἐκκλησίας προέδρῳ, καὶ τῷ λοιπῷ πλήθει τῶν ὀρθοδόξων ἐπέστελλε, τὰ οἰκεῖα καταλέγων πάθη, ὅσα συνέβη παθεῖν αὐτοὺς παρ' ἐκείνου δὴ τοῦ θεομισοῦς Θεοφίλου, τῶν θείων ὑπεραθλοῦντας εἰκόνων· καὶ ὅπως μετὰ τὰς πολλὰς αἰ-

ctor est, spectaculum factus & Angelis & hominibus. Præfecto autẽ ægrè ferente quod sic diu nudus consisteret, Ego, inquit Athleta, idcirco nudus ceu pro arena sto, vt si quem pugilum doloribus fatiscentem conspexero, quod illi deest, in meo corpore certa animositate adimpleam. *Col. 1. v. 24.* Euge Viri tolerantiam, dicendi libertatem, erga Dominum feruorem!

Rursus itaque exilio relegantur in Insulam, quam vulgi vsu Aphusiam vocant. At, quid interest ea percensere quæ exinde secuta sunt, carceres, naufragia, famem, Solis ardores, nocturnum frigus, insidias, insurgentes procellas atque insultus, quotidianas mortes, repetita verbera ac plagas, cæsa ora atque colaphos? Cæterum quod & illa, longique ærumnas exilij gaudio ferrent, duobus pòst annis, soli ex aliis Imperatoris iussu Constantinopolim veniunt. Maiori enim, etsi vano ac inani, Imperator desiderio tenebatur, vt scilicet Theodorum ac Theophanem vnà secum sentientes nancisceretur, quàm vt vniuersos suæ ditionis teneret, quibuscum nulla ei opinionum dissensio erat.

Sanctorũ cruciatus & certamina.

Theophilo tentata eorum constantia.

Enimverò operæpretium sit, quæ deinceps sequuntur; illis ipsis verbis eius Epistolæ declarare, quam vnà cum fratre diuinus hic Theodorus communem componens, Ioanni Cyziceno Episcopo, ac reliquæ Orthodoxorum multitudini, scripsit; ærumnas suas enumerans, ac quæcunque eos mala ferre contigerat à Deo exoso illo Theophilo, dum pro diuinis Imaginibus agone decertant; quomodo item post alia dehonestamen-

ta ac verbera, etiam vultus crudeliter eis inscripti sunt ac compuncti. Sin autem etiam aliqua simplicius atque aggrestius dicta in Epistola conscripta habentur, non idcirco æquis iudicibus ac eruditis imperitus auctor ipse habendus sit; sed ita existimandum, primum quidem, sine delectu vsum illum esse dictione ac nominibus, qui videlicet non tanti rem duceret, nec tantã in eo diligentiam ponendam existimaret. Deinde autem, quod etiam vellet ipsa planè verba, sicut & dicta erant, inter interrogandum ac respondendum, ita simpliciter nulloque ornatu repræsentare. Sic autem ad verbum Epistola habet.

Theodori Epistola ad Episcopum Cyzicenũ de suo & fratris agone.

Maximam facerem iniuriam, si ea quæ in nos gesta contigerunt, silentio traderem, cùm multi audire atque discere desiderent; atque id maximè, quod ad Dei gloriam vulgique vtilitatem, dicta atque audita conferre aliquid valeant; neque verò minus etiam ad impios redarguendos conducant, eorumque doctrinæ imbecillitatem aranearumque telis similem ipsius structuram, certa conjectura euincant. Ac breui post, hæc quoque ait. *Cum ergo venisset, qui tum Imperatoriis iussis ministrabat, atque in insulam Aphusam ascendisset, magna nos celeritate abreptos; duxit in ciuitatem; sanctè asserens, nescire se causam, ob quam raperemur, nisi quod magna cum festinatione, etiamque atque etiam vrgente præcepto, dicebat se missum esse. Venimus itaque in ciuitatem, cum Iulij mensis dies esset octauus. Cumque is qui adduxerat, se solum coram Imperatore stitisset, in prætorio mox iubetur, vt nos carcere includat.*

χίσεις, καὶ αὐτὴν τὴν ὄψιν ἀνηλεῶς κατεγεγράφησαν. εἰ δέ τινα καὶ ἐγκεινται τῇ ἐπιστολῇ ἀφελῶς τε καὶ ἰδιωτικῶς ἔχοντα, οὐκ ἀμαθίαν πάντως παρὰ τοῖς εὖ κρίνουσι καὶ πεπαιδευμένοις τοῦ γράμματι μαρτυρήσει· ἀλλὰ πρῶτα μὲν, τὸ ἀδιαφόρως αὐτὸν χρῆσθαι τῇ λέξει καὶ τοῖς ὀνόμασι, καὶ μὴ μέγα ταῦτα ἡγεῖσθαι, μηδὲ σπουδῆς ἄξιον. ἔπειτα δὲ, καὶ τὸ βούλεσθαι ἀκριβῶς αὐτὰ τὰ ῥήματα καθὼς ἄρα καὶ ἐρρέθησαν, ἔν τε ταῖς πεύσεσι, καὶ ταῖς ἀποκρίσεσιν, ἁπλῶς οὕτω καὶ ἀνεπικοσμήτως παραθεῖναι. ἔχει δὲ πρὸς λέξιν τὰ τῆς ἐπιστολῆς οὕτως.

Ἀδικοίην τὰ μέγιστα, σιωπῇ παραδοὺς τὰ εἰς ἡμᾶς γεγενημένα, πολλῶν ἐφιεμένων ἀκοῦσαί τε καὶ μαθεῖν· καὶ μάλιστα εἰς δόξαν Θεοῦ καὶ πολλῶν ὠφέλειαν ἔσεσθαι δυνάμενα, λεγόμενά τε καὶ ἀκουόμενα. οὐχ ἥκιστα δὲ καὶ πρὸς ἔλεγχον τῶν ἀσεβούντων συντείνοντα, καὶ τοῦ δόγματος αὐτῶν τὸ σαθρὸν καὶ ἀραχνῶδες ἐλέγχοντα καὶ μετὰ βραχὺ, καὶ ταῦτά φησιν. ὁ τηνικαῦτα τοίνυν τοῖς βασιλικοῖς ἐξυπηρετούμενος προστάγμασιν ἐλθὼν, καὶ τῇ νήσῳ ἐπιβὰς Ἀφουσίᾳ, σὺν πολλῷ τῷ τάχει ἐξαρπάσας ἡμᾶς, ἦγεν ἐπὶ τὴν πόλιν· τὴν αἰτίαν ὅτου χάριν ἠγόμεθα, διαβεβαιούμενος ἀγνοεῖν, πλὴν ὅτι μετὰ πολλοῦ τοῦ τάχους, καὶ πολλῆς τῆς ἐπείξεως ἔφασκεν ἀπεστάλθαι. εἰς τὴν πόλιν οὖν ἤλθομεν ἤδη τοῦ Ἰουλίου ὀγδόην ἐπέχοντος· καὶ τῷ βασιλεῖ μόνος ἐμφανισθεὶς ὁ ἡμᾶς ἀγαγὼν, εὐθὺς ἐκεῖ εὐθὺ καθεῖρξεν ἡμᾶς εἰς τὸ πραιτώριον.

Μεθ' ἡμέρας οὖν ἕξ, τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς, μετάκλητοι πρὸς βασιλέα γινόμεθα, τῆς ἡμῶν ἀφίξεως ἐν ταῖς πάντων διανοίαις ἤδη προεγνωσμένης καὶ προσδοκωμένης, ὡς τῷ βασιλεῖ παραστησόμεθα δίκας ὑφέξειν μέλλοντες. καὶ οὐδὲν ἦν ἕτερον ἰδεῖν ἢ ἀκούειν, ἀλλ' ἢ φόβους καὶ ἀπειλάς· τῶν μὲν λεγόντων, Συντόμως ὦ οὗτοι, καὶ ἄνευ πάσης ἀντιλογίας ὑποκύψατε τοῖς βασιλικοῖς διατάγμασι· τῶν δὲ, τὰ ἀνήκεστα παθεῖν εἰ παρακούσοιτε προμαρτυρομένων· ἑτέρων δὲ φασκόντων, Δαιμόνιον ἔχετε, καὶ ἕτερα τοιαῦτα, καὶ χείρονα κενῶς ταῖς ἀκοαῖς ἡμῶν παραπίπτοντα.

Post sex itaque dies (nempe quartodecimo eiusdem mensis) accersimur ad Imperatorem, cum in omnium iam animis ceu Imperatori ad luendas pœnas sistendi, oppido venturi præscíremur. Aliud nihil videre erat autve audire, quàm terrores & minas; cum alij dicerent, Quantocius, ô vos, Imperatoris mandatis citra omnem cedite contradictionem; aliis, intolerabilia nos mala passuros, nisi dicto audientes essemus, protestantibus; aliis denique dicentibus, Dæmonium habetis, aliaque eiusmodi, hisque deteriora quibus in cassum aures nostræ pulsabantur.

Καὶ ταῦτα μὲν πρὶν τῷ χρυσῷ λεγομένῳ τρικλίνῳ προσβαλεῖν ἠκούομεν· προσβαλόντες δὲ, καὶ τῇ πύλῃ ἐπιβάντες, προάγοντος ἡμᾶς τοῦ ἐπάρχου, ὤφθη ἡμῖν ὁ βασιλεὺς, φοβερὸς ἄγαν καὶ θυμοῦ πνέων, ἔνθεν τε καὶ ἔνθεν ἱκανῶν περιεστηκότων. ὥρα ἦν ὡς δεκάτη· καὶ μέχρι τούτου ἐλθὼν διέστη ἡμῶν ὁ ἔπαρχος, μόνους ἡμᾶς ἐν ὀφθαλμοῖς τοῦ βασιλέως καταλιπών. καὶ δὴ προσκυνήσαντας, ἐγγύτερον παραστῆναι θρασυτέρᾳ τῇ φωνῇ σὺν αὐστηρείᾳ παρεκελεύετο. μέχρι οὖν αὐτοῦ γενομένους, ἤρετο, Ἐν ποίᾳ χώρᾳ εἰπὼν ἐγεννήθητε; ἡμῶν ἀποκρινομένων, Ἐν Μωαβίτιδι, πάλιν ἐκεῖνος αὐτοῖς ῥήμασι, Διατί ἤλθετε ὧδε; καὶ πρὶν ἀποκρίνασθαι, ἐπέτρεψεν ἡμῶν παίεσθαι τὰς ὄψεις. πολλὰς δὲ τὰς πληγὰς οἱ παίοντες ἐντείναντες καὶ βαρείας, ὡς σκοτοδίνης ἡμᾶς πληρωθῆναι καὶ πίπτειν χαμαί· καὶ γὰρ εἰ μὴ τοῦ πρὸς τῷ στήθει χιτῶνος ἐδεξάμην τοῦ παίοντος, εἰς τὸ τοῦ βασιλέως ἂν ὑποπόδιον εὐθὺς κατεβλήθην. κατέχων δὲ τὸ ἱμάτιον, ἐδεχόμην ἀμεταστρεπτὶ τὰς

Et hæc quidem audiebamus, priusquam ad Aureum, quod dicitur, Triclinium veniremus. Vbi autem venimus, ac porta pedem intulimus, præeunte Præfecto, nostris se vultibus Imperator, terribilis valde ac iram spirans, hinc inde stipantium corona, quanta par erat, cinctus objecit. Hora erat quasi decima; quique hactenus nobis comes Præfectus venerat, discessit, solosque in oculis Imperatoris reliquit. Cumque adorassemus, audacè asperaque voce propius adstare iubet. Ad eum ergo prope cum venissemus, interrogauit, dicens, Qua in regione nati estis? Respondentibus nobis, In Moabitide; ille rursum iisdem verbis, Et cur, inquit, huc venistis? nec dumque accepto responso, facies nostras cædi iussit. Multas verò plagas & graues cædentes insluxerunt, adeo vt impleremur vertigine, & humi caderemus. Etenim nisi eius qui cædebat, tunicam in pectore apprehendissem, ad Imperatoris scabellum statim corruissem. Tenens autem vestem, immotus plagas accepi, donec Imperator à per-

Imperatoris hæc aula sanctiusque cubiculum.

cutiendo iussit cessare. Cessantibus autem qui percutiebant, rursus rogauit Imperator, Quid causæ fuit cur huc veniretis? Id autem sibi istud volebat, velut quæreret, Quamobrem qui eandem nobiscum nolletis amplecti fidem, communes nobiscum sedes diligere voluistis?

Nobis porro tacentibus, atque in terram cernuis, ad Præfectum qui prope stabat, impudenti ore toruoque oculo conuersus, cum magna ira ac voce aspera verbis eiuscemodi sententiam dixit, Tolle hos, atque eorum vultibus hosce inscribe ac insculpe Iambos; tradéque eos duobus Saracenis, vt in suam regionem abducant. Propè verò erat, qui Iambos habebat, qui & eorum auctor extiterat, Christodulus nomine. Cui & legere eos præcepit; hoc quoque adijciens, Etsi non sint elegantes, nihil tibi hoc curæ sit. Id autem dixit, quod non lateret, quàm accuratè in componendis atque edendis versibus versati essemus, nobisque procliue esset istos irridere. Et ideo quidam eorum qui aderant, ei adblandiens, Ne digni quidem sunt isti, ô Domine, vt sint Iambi elegantiores. Præstat autem etiam illos ipsos, vt se habuerunt, hìc loci inserere.

Cunctis ad vrbem adire eam volentibus,
Stetere vbi Dei Verbi casti pedes,
Terrarum vt orbis per id queat consistere;
Apparuerunt isti honorando in loco,
Erroris impij mala vasa & reproba.

πληγάς, ἕως παύσασθαι τῆς παίειν ἐκέλευσεν ὁ κρατῶν. παυσαμένων δὲ τῶν παιόντων, ἤρετο πάλιν ὁ βασιλεύς, Τίνος χάριν ἐληλύθατε ἐνταῦθα; ἐβούλετο δὲ ὁ λόγος αὐτῷ, Οὗ χάριν τὴν αὐτὴν ἡμῖν ἀσπάσασθαι πίστιν οὐ βουλόμενοι, τὴν μεθ' ἡμῶν οἴκησιν ἠσμενίσατε.

Ἡμῶν δὲ σιωπησάντων, καὶ εἰς γῆν νενευκότων, πρὸς τὸν ἔπαρχον ἐγγύθεν ἑστῶτα, ἰταμῷ τῷ λόγῳ καὶ βλοσυρῷ τῷ ὄμματι ἀποτεινάμενος, λόγον τοιόνδε μετὰ πολλοῦ τοῦ θυμοῦ καὶ τραχείας τῆς φωνῆς ἀπεφθέγξατο, Ἆρον αὐτούς, καὶ γράψον τὰ πρόσωπα αὐτῶν, ἐγκολάψας τούσδε τοὺς ἰάμβους· καὶ παράδος αὐτοὺς δύο Σαρακηνοῖς, καὶ ἀπαγέτωσαν αὐτοὺς εἰς τὴν ἰδίαν αὐτῶν γῆν. ἑστήκει δὲ πλησίον ὁ τοὺς ἰάμβους ἔχων, ὃς ἦν καὶ τούτους σκεψάμενος, Χριστόδουλος τοὔνομα· ᾧ καὶ ἀναγινώσκειν αὐτοὺς ἐπέταξε, προσθεὶς καὶ τοῦτο· ἐὰν μὴ ὦσι καλοί, μή σοι μελέτω. τοῦτο δὲ εἴρηκεν, εἰδὼς ὡς ἄριστα ἡμῖν ἤσκηται ἡ τῶν ποιητικῶν σχημάτων ἀκρίβεια, καὶ εἰς ὅσον καταγελασθήσονται, πρὸς ἡμῶν. διὰ τοῦτο καί τις παρών, καὶ χαριζόμενος αὐτῷ, Οὐδὲ ἄξιοί εἰσιν, ὦ δέσποτα, οὗτοι, ἵνα καλλίους ὦσιν οἱ ἴαμβοι. καλὸν δὲ καὶ αὐτούς, ὡς εἶχον, ἐνθεῖναι τῷ διηγήματι.

Πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν,
Ὅπου πάναγνοι τοῦ Θεοῦ Λόγου πόδες
Ἔστησαν, εἰς σύστασιν τῆς οἰκουμένης,
Ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
Σκεύη πονηρὰ δεισιδαίμονος πλάνης,

Ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀγνωσίας
Πράξαντες αἰσχρὰ δεινὰ δυσσεβοφρόνως.
Ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.
Πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες,
Οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρείας,
Ὅθεν χαρίνθες ὡς κακοῦργοι τὴν θέαν,
Κατακρίνονται καὶ διώκονται πάλιν.

Cùm multa feciſſent ibi pertur-pia,
Graniaque quod deeſſet eis recta fides,
Illinc abacti ſunt ſicut apoſtatæ.
Confugientes autem ad vrbem Imperij,
Stultitiam haud reliquerunt nefariam.
Quare notati & inſcripti vt malefici,
Damnantur exiguntùrque improbi iterum.

Τούτων δὲ ὑπαναγνωσθέντων, ἀπάγειν ἡμᾶς εἰς τὸ πραιτώριον ἐκέλευε· καὶ μετὰ τὸ ἐξελθεῖν ἡμᾶς, καὶ τὴν λεγομένην Θερμάστραν ἤδη καταλαβεῖν, φθάσας τις, ἐκέλευεν ὑποστρέφειν· καὶ σὺν πολλῷ τῷ τάχει, τῷ βασιλεῖ παρίστησιν· ὃς καὶ ἰδὼν ἡμᾶς, πρὸς λέξιν οὑτωσὶ ἔφη, Εἰκὸς ὑμᾶς ἀπελθόντας λέγειν ἐκεῖσε, ὡς τῷ βασιλεῖ ἐνεπαίξαμεν· ἀλλ' ἐγὼ πρότερον καταπαίξας ὑμᾶς, ἀπολύσω. οὕτω λέξας περιδυθῆναι ἡμᾶς ἐκέλευεν. ἐκδυθέντων οὖν ἀμφοτέρων, ἐτυπτόμην ἐγὼ, τοῦ βασιλέως ἀπαύστως οὑτωσὶ κράζοντος, καὶ εἰς ἑαυτὸν ὁρκίζοντος τοὺς μαστίζοντας· Οὕτως ἔχεις ἐμέ· δὸς καλά. ἔτυπτον γοῦν καὶ νῶτα καὶ στήθη, χωρὶς οἴκτου παντὸς καὶ φιλανθρωπίας. ἐγὼ δὲ ἐπὶ πολὺ μαστιζόμενος, ἐβόων, Οὐδὲν ἡμάρτομεν εἰς τὴν βασιλείαν σου· καὶ πάλιν, Κύριε ἐλέησον· καὶ, Ἁγία Θεοτόκε, ἐλθὲ εἰς τὴν βοήθειαν ἡμῶν. ἔπειτα καὶ τὸν ἀδελφὸν ἔτυπτον παραπλησίως βοῶντα, καὶ, Ἁγία Θεοτόκε, λέγοντα, καὶ αὐτὴ εἰς Αἴγυπτον ἔφυγες βαστάζουσα τὸν Υἱόν. ἔπιδε ἐπ' ἐμὲ τὴν διὰ τὴν ὁμοίαν σοι φυγὴν κολαζόμενον. Κύριε, Κύριε, ὁ ῥυόμενος πτωχὸν ἐκ χει-

His lectis, iuſſit nos adduci iterum in prætorium: & poſtquam egreſſi eſſemus, & ad eam quæ dicitur Thermaſtra, iam veniſſemus, veniens aliquis, iuſſit nos reuerti, ac cum multa celeritate, nos Imperatori ſiſtit. Iſque nos contuitus, ſic ad verbum locutus eſt, Veriſimile eſt, vos, cum receſſeritis, eſſe dicturos, Illuſimus Imperatori? Sed ego, cum prior vobis illuſero, tum dimittam. Quo dicto, exui nos veſtibus iubet. Cum autem ambo exuti eſſemus, vapulabam ego, ſic aſſiduè clamante Imperatore, eoſque qui cædebant per ſe ipſum adiurante, Ita habes me? Da bene. Cædebant ergo & tergum & pectus ſine vlla miſericordia ac miſeratione. Ego autem cum diu multumque flagris cæderer, vociferabar, Nihil peccauimus in tuum Imperium; ac rurſus, Domine miſerere: &, Sancta Deipara, veni in adiutorium noſtrum. Deinde etiam fratrem pariter clamantem ceciderunt, atque dicentem, Sancta Deipara, ipſa quoque fugiſti in Ægyptum, portans Filium tuum. Reſpice in me, qui propter ſimilem tui fugam punior. Domine, Domine, qui liberas

Cęſi durius ſancti Confeſſores.

Matth. 2. v. 13.

Pſ. 34. v. 10. & 21. v. 29.

pauperem de manu eorum, qui illo fortiores sunt, ne elongaueris à nobis auxilium tuum. Et sic cum ambos, quantum volebat, concidisset, exire iussit. Alius autem rursus egressus, ad nos accurrit, iubens reuerti.

Quidam verò missus ab Imperatore, percontabatur, Quid causæ est, quod de Leonis morte gauisi estis: quodve cùm ad eum accesseritis, non eandem ac ille fidem amplectimini? Ad hæc nos, Neque morte Leonis gauisi sumus, sed neque ad eum accessimus; neque fidem propter vos, qui cum tempore mutamini, omnino abolere, aut quicquam nouare sustinemus. Illo autem subijciente, Hactenus sanè, Num sub Leone venistis? Nequaquam, diximus: sed sub eo, qui illo prior Imperium tenuit. At ille, Rectè, rectè, inquit; & ite. Erat autem hic Cursus Logotheta. Tum ad prætorium, cùm iam sero factum esset, venimus.

Præclara vox.

Nempe Nicephorus.

Quatuor dies transierant, cùm Præfecto pro tribunali sedente, ad eius audientiam adducimur. Multis ille suppliciorum minis territans, ac cum se prius pœnas illaturum dixisset; tumque etiam facies inscripturum, atque Saracenis traditurum, hortabatur, vt cuius desiderio teneretur Imperator, id præstaremus. Erat cum eo & Christodulus eiusque pater. Nobis autem austerè fortiterque negantibus, atq; ad innumeras sustinendas mortes nosmetipsos paratos dicentibus; fore denique vt eorũ communione nunquam polluamur, eisve quicquam assentiamur, qui Christianã fidem ac confessionem irritam fecerunt, vel si ab eis nobis oculi eruendi sint, vel si corpus igni exurendum, Tum pater Christoduli, velut

Sanctorum constantia.

ἐκ τῶν στερεωτέρων αὐτοῦ, μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀφ' ἡμῶν. καὶ οὕτω συγκόψας ἀμφοτέρους ἐφ' ὅσον ἤθελε, προσέταττεν ἐξιέναι· ἐξελθὼν δὲ πάλιν ἕτερος, κατέδραμεν ἡμῶν ὑποστρέφειν κελεύων.

Καί τις ἀπὸ τοῦ βασιλέως πεμφθεὶς, ἐπυνθάνετο, Τίνος χάριν τῷ θανάτῳ τοῦ Λέοντος ἐπεχάρητε, καὶ διατί προσφυγόντες αὐτῷ, τὴν αὐτὴν ἐκείνῳ μὴ ἀσπάζεσθε πίστιν. πρὸς ταῦτα ἡμεῖς, Οὔτε τῷ θανάτῳ φησὶ τοῦ Λέοντος ἐπιχαίρομεν, οὔτε μὴν αὐτῷ προσστρεφόμεθα· οὐδὲ τὴν πίστιν δι' ὑμᾶς τοὺς τοῖς καιροῖς συμμεταβαλλομένους, ἀθετεῖν ὅλως ἢ καινοτομεῖν ἀνεχόμεθα. τούτου δὲ ἀνθυπενεγκόντος, Τέως γοῦν ἐπὶ τοῦ Λέοντος ἤλθετε; οὐκοῦν ἔφημεν· 10 ἀλλ' ἐπὶ τοῦ πρὸ αὐτοῦ βασιλεύ- 10.
σαντος. ὁ δὲ, Καλῶς, καλῶς, ἔφη, καὶ πορεύεσθε. ὁ λογοθέτης δὲ οὗτος ἦν τοῦ δρόμου. τότε εἰς τὸ πραιτώριον σκοτίας ἤδη γινομένης ἤλθομεν.

Τεσσάρων δὲ παρελθουσῶν ἡμερῶν, προκαθίσαντι τῷ ἐπάρχῳ, ἀγόμεθα εἰς παράστασιν. ὁ δὲ πολλῶν βασάνων ἀπειλαῖς φοβήσας, καὶ κολάζειν εἰπὼν πρότερον, εἶτα καὶ τὰς ὄψεις γράφειν, καὶ τοῖς Σαρακηνοῖς παραδοῦναι, παρῄνει τὸ τοῦ βασιλέως ποιεῖν καταθύμιον. συνῆν δὲ αὐτῷ καὶ Χριστόδουλος, καὶ ὁ τούτου πατήρ. ἡμῶν δὲ σκληρῶς ἀπαναινομένων, καὶ μυρίοις θανάτοις ὑπομένειν ἑτοίμως ἔχειν λεγόντων, καὶ ὡς οὐ χραινθησόμεθα ποτὲ τῇ κοινωνίᾳ, ἢ κἂν γοῦν τῇ συγκαταθέσει τῶν τὴν Χριστιανῶν πίστιν καὶ ὁμολογίαν ἀθετησάντων, κἂν τοὺς ὀφθαλμοὺς ἐκκόψαιεν· κἂν τὸ σῶμα καύσειεν τῷ πυρὶ, λεγόντων· ὁ τοῦ Χριστοδούλου πατὴρ ἐν χάριτος μοίρᾳ τὸ λόγον

τὸν λόγον τοῖς ἐναντίοις ποιούμενος, Οὐδέ ποτε πρὸς τὸν ἔπαρχον ἔφη, προσεκύνησαν οὗτοι εἰκόνα· καὶ τίνα παθόντες ἐληλύθασιν ὧδε, οὐκ οἶδα. πρὸς ὃν αὐστηρῶς ἐγὼ, Ἀπόστα ἔφην ἐντεῦθεν· οὐκ οἶδας τί λέγεις, οὐδὲ περὶ τίνων διαβεβαιοῦσαι.

Ὁ δὲ ἔπαρχος αὖθις θωπείαις χρώμενος, Μίαν εἶπε, μίαν μόνον κοινωνήσατε, καὶ ἕτερον οὐκ ἀπαιτοῦμεν· καὶ ἔρχομαι καὶ ἐγὼ μεθ' ὑμῶν εἰς τὴν ἐκκλησίαν, καὶ πορεύεσθαι ὅπη φίλον ὑμῖν. ἐγὼ δὲ πρὸς αὐτὸν γελάσας, Ὅμοιόν τι λέγεις κύριε ὁ ἔπαρχος, εἶπον, ὥσπερ ἄν τις ἕτερον ἀξιῶν λέγοι, Οὐδὲν αἰτοῦμαί σε, ἀλλ' ἢ τὴν σὴν ἅπαξ ἀποτεμεῖν κεφαλὴν, καὶ τὸ μετὰ ταῦτα πορεύου ὅπου θέλεις. γίνωσκε τοίνυν, ὡς ἡμῖν καὶ τοῦτο δι' αἰσχύνης ἐστὶ, τὸ τολμᾶν τινὰ ὅλως πρὸς κοινωνίαν ἡμᾶς προτρέπεσθαι, πρὸς ἣν αὐτὸς οὐκ οἶδ' ὅπως παραινεῖς ἡμῖν· καὶ μὴ πόρρωθεν πεπεῖσθαι τὸν τοιοῦτον, ὡς ῥᾷον αὐτῷ γῆν καὶ οὐρανὸν ἄνωθεν καὶ κάτωθεν ποιεῖν, ἢ ὑπὲρ ἡμᾶς μετατιθέναι τῆς εὐσεβείας. τότε χαραχθῆναι τὰς ὄψεις ἡμῶν ἐκέλευσε. καὶ δὴ ἔτι τῶν ἐκ τῶν μαστίγων πληγῶν φλεγμαινουσῶν ἐν ἡμῖν, καὶ ἀφορήτους ποιουσῶν τὰς ὀδύνας, διατείναντες ἐπὶ σκαμνίων, τὰς ὄψεις ἐκόλαπτον. ἐπὶ πολλὴν δὲ τὴν ὥραν ἐκκεντούντων τὰ πρόσωπα, σκότος ἐγένετο δεδυκότος ἡλίου· ὃ καὶ μὴ βουλομένων, τὴν εἰς τέλος ἐπέσχε γραφήν.

Μέλλοντες δὲ ἐξιέναι, πρὸς τὸν ἔπαρχον, καὶ τοὺς παρόντας, Τὰ γράμματα ταῦτα, εἴπομεν, εὖ ἴστε, θεασάμενα τὰ Χερουβὶμ, ὑποχωρήσει, καὶ ἡ φλογίνη ῥομφαία, τὰ νῶτα δοῦσα, τῆς εἰσόδου ἡμῖν τοῦ παραδείσου παραχωρήσει, αἰδουμένα τὰς ἡμῶν ὄψεις, τὰς ὑπὲρ τοῦ κοινοῦ δεσπότου ἀτίμως οὕτως ἐγχαραχθεί-

lut ipse à nobis gratiam initurus, Nunquam hi, inquit ad Præfectum, Imaginem adorauerunt; nec noui quid illis acciderit, vt huc venirẽt. Ad quem ego seuera increpatione. Abscede, inquam, hinc; nescis quid dicas, nec de quibus affirmes.

At Præfectus rursus blanditiis vtens, Semel, inquit, semel solum communicate, nec aliud exigimus; & ego vobiscum ibo in Ecclesiam; & deinde ite, quò vobis placuerit. Ego verò ei dixi subridens, Simile quid dicis, ô domine Præfecte, ac si quis alium rogans, dicat, Nihil aliud peto, quàm vt semel ceruicem tibi abscindam; & tunc postea vade, quò velis. Scias ergo, hoc quoque nobis esse pudori, quod audeat nos aliquis adhortari ad communionem (ad quam nescio quomodo suades vt accedamus) nec olim persuasum habeat, qui eiusmodi est, procliuius illi esse vt cœlum ac terram sus deque misceat, quàm vt nos à pietate traducat. Tunc iussit inscribi nostros vultus; cúmque adeo, acceptæ ex verberibus plagæ, quæ turgebant adhuc ac inflammabantur, incredibili nos dolore afficerent; extendentes super scamna, vultus nostros insculpebant. Cùm autem per longum tempus vultus compungerent, Solis occasu ingruentibus tenebris, vel inuiti prohibiti sunt ne scripturam omnem absoluerent.

Egressuri verò diximus Præfecto, & his qui aderant, Hasce literas, probè scitis, videntes Cherubim, recedent; flammeusque gladius terga dans paradisi nobis concedet ingressum, qui nostros vultus reuereatur, sic propudiose pro communi Domino exaratos. Vni enim sumus, in quos à sæculo eiusmodi scelus patratum sit. No-

Sãctorum dicendi libertas.

Gen. 3. v. 24

Theophili singulare in Graptis crudelitatis exemplum.

numque hoc subtilis cruciandi artis inuentum est: quo ipso clementes exhibuistis atque humanos, quotquot aduersum Christianum dogma furiis inuecti Tyranni sæuierunt. In facie autem Christi prorsus agnoscetis, prostabuntque hæ literæ vt à vobis legantur. Matth. 25. v. 40. *Ipse namque dixit*, Quæcunque fecistis vni ex his minimis, mihi fecistis.

Hos sermones vt ex Præfecto audiit Imperator, istud dicendum putauit, rationum, puto, perspicuitate attonitus, Id ego si verum esse scirem, eum in modum meæ omnis plebis vultibus hæc inscriberem. Nos verò, cùm alia quoque plura sint, hæc breuius declarauimus, qui eorum quæ gesta sunt, multos testes habeamus: quos, bene scio, hisce plura & apertius esse narraturos, qui scilicet, quæ tunc facta dictaque sunt, nobis melius obseruarunt. Neque enim in angulo aut occulto hæc facta sunt, sed in theatro, ipsoque medio orbe Romano. Et sic quidem Epistola.

Post tam inhumanum autem nouumque supplicium, quod propter cultum diuinarum Imaginum Beati isti subierunt, adhuc cruorem cæsim compunctis vultibus stillantes, in custodiam traduntur. Deinde Iannæ improbis suggestionibus, qui tum eiusdem sententiæ, cuius iniquus Imperator, cum esset, Ecclesiæ clauum tenebat, exilio damnantur. Sancti Apameæ exilio damnati. Eos itaque suscipit Apamea Bithyniæ Horum nec humanda corpora post mortem Imperator præceperat; partim vt contumelia eos afficeret; partim etiam, quòd Orthodoxis communiter sic bonam ac desiderabilem possessionem inuideret. Illic igitur

σας. μόνοις γὰρ ἀπ' αἰῶνος ἡμῖν πέπρακται τοῦτο, καὶ καινὸν ἐπιτήδευμα εὕρηται· καὶ φιλανθρώπους ἀπεδείξατε πάντας, ὅσοι κατὰ τοῦ θείου ἡμῶν ἐμάνησαν δόγματος. ἐν δὲ τῷ προσώπῳ Χριστοῦ πάντως ἐπιγνώσεσθε, καὶ εἰς ἀνάγνωσιν ὑμῖν παραστήσονται ταυτὶ τὰ γράμματα. αὐτὸς γὰρ εἴρηκεν, Ὅσα ἂν ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

Τούτους τοὺς λόγους ὡς ἤκουσεν ὁ βασιλεὺς διὰ τοῦ ἐπάρχου, ἔδοξε λέγειν ὑπὸ τῆς τῶν λογισμῶν ἐναργείας ὡς οἶμαι καταβροντηθείς, Εἰ ἐπιστάμην ἀληθὲς εἶναι τοῦτο, παντὶ τῷ λαῷ μου, οὕτως ἂν ταῦτα ἔγραψα. ἡμεῖς μὲν οὖν ταῦτα πολλῶν ὄντων καὶ ἄλλων, ἐπιτομώτερον δεδηλώκαμεν, τῶν πραχθέντων πολλοὺς ἔχοντες μάρτυρας· οἵ τινες εὖ οἶδα, καὶ τὰ πλείονα καὶ σαφέστερον διηγήσονται, τὰ πεπραγμένα τότε καὶ λεγόμενα, κρεῖττον ἢ ἡμεῖς φυλάττοντες. καὶ γὰρ οὐκ ἐν γωνίᾳ, οὐδ' ἐν παραβύστῳ τινὶ πέπρακται, ἀλλ' ἐν θεάτρῳ, καὶ μέσῃ τῇ οἰκουμένῃ. καὶ οὕτω μὲν ἡ ἐπιστολή.

Ἀλλὰ μετὰ τὴν τοιαύτην ἀπάνθρωπον καὶ καινὴν τιμωρίαν, ἣν διὰ τὴν τῶν θείων εἰκόνων προσκύνησιν οἱ μακάριοι οὗτοι ὑπέστησαν, ἔτι τῷ λύθρῳ τοῦ αἵματος σταζομένων αὐτοῖς τῶν προσώπων, τῇ φρουρᾷ παραδίδονται. εἶτα τῇ τοῦ Ἰαννῆ πονηρᾷ εἰσηγήσει, ὃς τηνικαῦτα σύμψηφος ὢν τῷ παρανόμῳ βασιλεῖ, τῆς ἐκκλησίας ἐκράτει, τὴν ὑπερορίαν καταδικάζονται. δέχεται τοίνυν αὐτοὺς ἡ τῆς Βιθυνίας Ἀπάμεια· οὐδὲ ἀξιωθῆναι ταφῆς τὰ τούτων σώματα μετὰ θάνατον ἐπιτεταγμένον ἐκ βασιλέως· τοῦτο μὲν, εἰς ἐκείνους ὑβρίζοντος· τοῦτο δὲ, καὶ κοινοῦ φθονοῦντος τοῖς ὀρθοδόξοις, ἀγαθοῦ

τοιούτου καὶ περιθεινοῦ κτήματος. δίηγον οὖν ἐκεῖσε ἡ γνησία αὕτη τῆς ἀδελφότητος ξυνωρὶς, τό, τε ὀρθόδοξον ἐκπαιδεύουσα, καὶ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν παρακαλοῦσα. ἐπιθανοὶ δὲ ἰσχυρῶς, ἅτε μὴ ἐκ τῶν λόγων, ἀλλ᾽ ἐκ τῶν ἔργων μᾶλλον τὴν προτροπὴν ποιούμενοι. ἦσαν γὰρ αὐτοῖς ἀκίνητοι πίστεις, τῆς μὲν ὀρθοδόξου, αἵ τε ὑπὲρ αὐτῆς ἐγκαρτερήσεις, καὶ αἱ χαλεπαὶ μάστιγες· τῆς δὲ ἀρετῆς, αὐτὸς ὁ βίος καὶ ἡ ἐγκράτεια, μικροῦ καὶ πρὸς τὴν τῶν ἀΰλων φύσιν ἁμιλλωμένη.

Ἐπεὶ δὲ καὶ ὁ καιρὸς ἐκάλει τῆς ἀναλύσεως, καὶ τῆς πρὸς ὃν ἐπόθουν ἀποδημίας, Θεόδωρος μὲν, καὶ γήρᾳ καὶ νόσῳ· πρὸς δὲ καὶ κακοπαθείᾳ τῇ ἐκ τῆς φρουρᾶς πιεζόμενος, ἐν αὐτῇ τῇ φρουρᾷ χερσὶ τοῦ δεδημιουργηκότος Θεοῦ, τὴν ἑαυτοῦ ψυχὴν παρατίθησιν, ἄμωμον μὲν τῇ πράξει τὸν βίον· ἄπταιστον δὲ τῇ εὐσεβείᾳ τὸν λόγον διατηρήσας· ἀνεπίληστον τῆς αὐτοῦ μαρτυρίας μνήμην καταλιπών· ἅτε δὴ καὶ ταύτην τὴν ἡμέραν τὸ τοῦ βίου τέλος δεξάμενος, καθ᾽ ἣν καὶ ὁ πρῶτος τῶν μαρτύρων Στέφανος, τῷ ἴσῳ ζήλῳ τὴν τελείωσιν δέχεται.

Θεοφάνης δὲ, τὸ τίμιον ἐκεῖνο καὶ ἀδελφικὸν σκήνωμα, μετά γε καὶ ἄλλων ἀνδρῶν εὐσεβῶν, καὶ ὅσους εἰκὸς ἦν κατ᾽ ἐκεῖνο καιροῦ συνδεδραμηκέναι, ὡς τῆς ἐκεῖθεν ἁγιασμοῦ καὶ τῆς χάριτος μὴ διαμαρτεῖν· πολλοῖς τιμήσας ἐγκωμίοις καὶ ᾄσμασι, ξυλίνῃ λάρνακι κατατίθησι, καὶ παρ᾽

11\. ἑαυτῷ συντηρεῖ· τοῦτο μὲν, 11 καὶ τῆς ἀφθορίας αὐτὸ θαυμάζων· τοῦτο δὲ, καὶ τῇ τῶν ἀγώνων μνήμῃ καλλωπι-

generosum par illud fratrum degebat, ac tum orthodoxam fidem docebat, tum ad virtutis præstanda opera prouocabat. Suadendi autem vi multa pollebant, quod non tam verbis, quàm rebus ipsis adhortationem adhibebant. Erant enim probationum inconcussa momenta; rectæ quidem fidei, quod pro ea compuncti erant, ac verberũ atrocitatem pertulerant; virtutis verò, ipsa vitæ institutio ac continentia; tanta scilicet, quâ & cum incorporea natura, æmula fere virtute contendebant.

Quod verò etiam tempus resolutionis vocabat, & ad eum cuius desiderio tenebantur, profectionis, Theodorus quidem cum senio tum morbo, ac præterea longa carceris maceratione atque ærumna oppressus, in ipso carcere animam suam in manus Dei Creatoris deponit; cùm scilicet, ad vitam quidem quod attinet, actionis cultu sese immaculatum seruasset; quodque ad rationem, pietatis rationibus ac fide; ab offensione noxaque omni immunem; nulla delendam obliuione sui martyrij memoriam relinquens; ea nimirum ipsa die vitæ finem nactus, qua & Martyrum primus Stephanus pari & ipse zelo consummationem suscepit.

Theodorus in carcere mortuus.

Theophanes autem cùm venerandum illud ac fraternum corpusculum, adjunctis etiã aliis viris piis, ac quotquot par erat eo tẽpore adesse, vt eius, qui illinc erat, sanctificationis ac gratiæ munere, minimè frustrarẽtur, multis encomiis atque canticis esset prosecutus, in arca lignea deponit, & apud se seruat, partim quidẽ incorruptionis ergo admirans; partim verò etiam certaminum memoria glo-

Leg. ἀφθαρσίας, vt & Lipom Interpr.

rians; impij Tyranni affatim iussionem ridens, qui nec sepultura dignanda voluerat, quæ cœlestibus tabernaculis meritò essent inferenda. Deinde etiam in Canones eius refert certamina; partim quidem pro lugubri planctu atque nænia (cui nefas indulgere) laudum cantica proponens; partim verò etiam, eorum qui conuenerãt desiderium solans. Aiunt enim quendam Senem, cùm per illud tempus multo pietatis zelo ferretur, tum Imperatoris minas spreuisse, tum nec ipsi quidem vitæ suæ pepercisse, vt fide procumbens ad beati Viri reliquias, eius quæ inde manabat, gratiæ particeps fieret. Cumque præsens loco adstitisset, quo tempore emigrare è corpore contigit, id est, ad Deum proficisci, illique obtigisset, vt è canentium vnus numero esset; affirmabat postea, audiuisse se tunc temporis suauissimam ac admirandam vocem psallentium è cœlis; siue quis Angelicam eam cogitauerit, siue aliam quandam Dei nutu per aëra sonantem; nouit Deus ac quotquot par est talia vt perspiciant.

Cœlestis hymnodia hora transitus.

Sic itaque diuini Theodori Corpusculum arca seruabat, ac copiosis assiduè miraculis clarescebat. Cùm autem rursum Deus in bonitate ac miserationibus respexisset, & velut caligo, impietas dissoluta esset, rectumque dogma denuo vires assumeret; cùm iam è viuis Deo inuisus Theophilus excessisset; reuertuntur quidem ab exilio, qui propter Christum patria ac Ecclesiis ejecti erant; reuersus verò est & magnus Theophanes, cùm esset Martyr, ac sulceptis Christi causa stigmatibus honestaretur; mercedem confessionis, aliam quidem à Deo, magnam sci-

Miracula ad Theodori reliquias.

Ecclesiæ pax.

Theophanes Nicænus Episcopus.

ζόμενος· μακρὰν ἐγγελάσας, τῷ τοῦ δυσσεβοῦς ἐπιτάγματι· ὃς οὐδὲ ἀξιοῦσθαι ταφῆς ἐβούλετο τὰ τῶν οὐρανίων σκηνῶν ἄξια. εἶτα καὶ 12 ἐν 12. κανόσι τὰ αὐτοῦ παλαίσματα καταλέγει· ἅμα μὲν, ἀντὶ θρηνῳδίας, ὡς μὴ θέμις ὄν, τὴν ὑμνῳδίαν παρατιθείς· ἅμα δὲ, καὶ τῶν συνήθων λειπομένων τὸν πόθον παραμυθούμενος. λέγεται γάρ τινα τῶν γερόντων κατ' ἐκεῖνο καιροῦ πολλῷ τῷ τῆς εὐσεβείας ζήλῳ φερόμενον, ὑπεριδεῖν μὲν καὶ βασιλικῆς ἀπειλῆς, ἀφειδῆσαι δὲ καὶ αὐτῆς τῆς ζωῆς, ἵνα πίστει τῷ τοῦ μακαρίου προσπίπτων λειψάνῳ, χάριτος ἐκεῖθεν μετάσχοι. ἐπιστὰς οὖν τῷ τόπῳ κατὰ τὸν τῆς ἐκδημίας καιρὸν, εἴτ' οὖν πρὸς Θεὸν ἀναλύσεως, καὶ εἷς τῶν ᾀδόντων γενόμενος, ἐβεβαίου τὸ μετὰ ταῦτα, ὡς εἴη τότε φωνῆς ἄνωθεν ψαλλόντων, ἡδίστης καὶ θαυμασίας ἀκούων· εἴ τε τῆς ἀγγελικῆς ἐννοήσοι ταύτην, εἴ τέ τινα ἄλλην νεύματι Θεοῦ γινομένην, Θεῷ δῆλον ἂν εἴη, καὶ ὅσοις τὰ τοιαῦτα διορᾶν ἄξιον.

Οὕτω μὲν οὖν τὸ τοῦ θείου Θεοδώρου λείψανον ἡ λάρναξ ἐτήρει, ἀφθόνοις θαύμασι διὰ παντὸς σημειούμενον. τοῦ Θεοῦ δὲ καὶ αὖθις ἐν χρηστότητι καὶ οἰκτιρμοῖς ἐπιβλέψαντος, καὶ τῆς ἀσεβείας ὥσπερ ἀχλύος ἐκ μέσου διαλυθείσης· τοῦ τε ὀρθοδόξου δόγματος πάλιν κρατυνομένου, ἤδη Θεοφίλου τοῦ θεομισοῦς ἐξ ἀνθρώπων γεγονότος, ἐπανήκασι μὲν ἀπὸ τῆς ὑπερορίας οἱ διὰ Χριστὸν, καὶ τῆς ἐνεγκαμένης καὶ τῶν ἐκκλησιῶν ἀπεληλαμένοι· ἐπανήει δὲ καὶ ὁ μέγας Θεοφάνης, μάρτυς ὢν, καὶ τοῖς ὑπὲρ Χριστοῦ στίγμασι σημειούμενος.

μισθὸν τῆς ὁμολογίας, ἄσυλον μὲν παρὰ Θεοῦ μέχρι ἀναφαίρετον προσδεχόμενος, τὸ νῦν ἔχον, τῆς Νικαίας τῆς Βιθυνίας παρὰ τῶν εὐσεβῶν θρόνον ἀπολαμβάνων.

Χρόνος δὲ τὸ μετὰ ταῦτα συχνὸς, καὶ ὁ θησαυρὸς ἄγνωστος· τὸ πολύαθλον φημὶ σῶμα, Θεοδώρου τοῦ μακαρίτου. ἔνθα γὰρ παρὰ τοῦ ἀδελφοῦ καταλέλειπτο, ἐκεῖσε δὴ καὶ κείμενον διετέλει. ἀλλὰ τῶν εὐσεβῶν τις καὶ φιλοθέων ἄνθρωπος, τρόπον τινὰ καὶ αὐτὸς κοινωνὸς εἶναι τοῖς ἀθλητῶν βουλόμενος, τὴν τοῦ μακαρίου τούτου σώματος μετακομιδὴν, ἐκ τῆς Απαμέων ἐπὶ τὴν Χαλκηδόνα ποιεῖται, ὕμνοις ἐξ ὕμνων αὐτοῦ παραπεμπομένου· καὶ χερσὶν ἱερέων καὶ μοναχῶν, ὡς θέμις, διακομιζομένου. ὃ δὴ καὶ ἱερὸν δειμάμενος φροντιστήριον, ἐκεῖσε τὸν θησαυρὸν ἀποτίθεται· καὶ νῦν ἐστι πᾶσι τοῖς προσιοῦσι παρέχων ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος, παντὸς νοσήματος καὶ πάθους ἀπαλλαγὴν, εἰς δόξαν Θεοῦ καὶ Πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

licet & quæ auferri non poteſt, expectans : in præſentia autem Nicææ Bithyniæ Sedem piorum concertantibus ſtudiis ornans.

Theodori Corporis tranſlatio Chalcedonem.

Longum poſtea tempus effluxexerat, ac theſaurus ignotus erat; quod inquam beatæ memoriæ Theodori corpuſcuſculum multis certaminibus perfunctum erat. Iacebat enim, quo loco à fratre relictum fuerat. Vir tamen quidam religioſus ac pius, qui ipſe quoque aliqua ratione cum Athletis coronarum ſocius eſſe ſtudebat, beati Viri corpus Apamea Chalcedonem transfert: quod quidem perpetuis canticis proſequebantur, & manibus, vt par eſt, portabant, Sacerdotes & Monachi. Quo in loco cùm ſacrum ædificaſſet monaſterium, illic deponit theſaurum : & nunc omnibus accedentibus animæ robur præſtat ac corporis, atque ab omni morbo & languore liberat; ad laudem Dei Patris ac Domini noſtri Ieſu Chriſti, nunc, & in ſæcula ſæculorum, Amen.



AD
S. THEODORI GRAPTI
AC CONFESSORIS
VITAM.



ANC Theodori Grapti Vitam, vt hîc repræsentarem, post longam rationum mecum disceptationem, euicit, quod æquum putaui, vt qui Nicephori Patriarchæ certamen in causa Imaginum grauiter descripserat, suum ipse quoque eadem serie (eodem Byzantij theatro, eadem ipsa ætate exhibitum) meo hoc syntagmate, eius Vrbis rerum gestorumque, perscriberet. Tanti scilicet visum, sin Martyris, at certè egregij Confessoris, non ita paucos versus, in lucem publicam dare, vt iis, qua ipse edidit lingua, Fideles recreentur, & ad paria animentur certamina, cùm præsertim non paucis locis etiamnum aperta palæstra sit, furente Christi ac Imaginum hoste.

Lipomanus, exque eo Surius ad Decembris 26. (id est, VII. Kal. Ianuarij) Vitam hanc Latinè retulit; exque more, ceu quid ἀδέσποτον, Metaphrastæ tribuit. Certiori tamen conjectura eidem fortè adscribi possit ex Metaphrastis characteris luminibus, quæ ex Psello in suo de Symeonum scriptis syntagmate constituit Leo Allatius. Ipse, qui ad manum non habuerit, censere non potuit: etsi exstare in Romanis Bibliothecis vel audierat vel meminerat, vt in sua de Theodoris Diatriba scripsit. Auctor hic cum Logotheta in Chronico penitus consentit, quibus in exilio & carcere narrant Theodori obitum, cuius vitam alij ad Theodorum & Michaëlem Augustos trahunt. Vt vt sit, significat auctor, se diu à Theodori obitu scripsisse, vt & Metaphraste fortè recentior sit, cuius & characterem sit imitatus, & secutus, quæ ille pauca verioraque Chronico suo inseruerat. Eius Vitæ ac scriptionis præcipua pars, Epistola est eiusdem Theodori; quæ & mihi ratio vel maxima fuit, vt hîc repræsentarem. Ipso statim titulo, Lipomani Interpres, siue ipse Romanus Codex, Martyres indigetat ambos fratres, istudque eorum

Martyrium vocat. Noster castigatius, Theodorum duntaxat, ipsumque Confessorem, adscribit, ac eius Vitam indigetat; quod ad ipsum tota scriptionis collineat intentio, sitque ipse in exilio defunctus, clarior proinde Confessionis titulo: cùm Theophanes Nicænus deinde Episcopus, in pace quieuerit. Martyrem tamen ipse auctor in fine scribit ἐπανείη δὲ καὶ ὁ μέγας Θεοφάνης, μάρτυς ὢν, καὶ τοῖς ὑπὲρ Χριστοῦ στίγμασι σεμνυνόμενος. *Reuertitur & Magnus Theophanes, ipse Martyr, & quibus pro Christo stigmatis inustus erat, glorians:* quibus verbis, eius vocis significationem velut restringit, vt non propriè Martyrem velit, sed ita Testem, vt vita incolumi, ferendo tormento, pietatis testimonio fructus sit: quos Confessores antiquo vsu Ecclesia dicit; Martyrij titulo iis relicto, quos tormentorum vis ipsa, in Christi confessione, seu aliàs tuenda pietate ac asserenda, vitâ extruserit: queis sic extrusis, certa victoria est atque gloria; cùm victores Confessores nihil subinde vinci prohibeat, grauiusque offendere; cuiusmodi, Cyprianus & alij deplorant; vt non satis cautum videatur, eos qui strenuum aliquid confessione egerint, eo vno titulo, ac cum reliqua deinceps vitæ ratio nos lateat, inter sanctos haberi atque beari. Quo in genere nonnihil indulgentius quandoque acciderit. Methodius tamen vnum hoc ad conjecturam satis existimauit, vt dignus Episcopatu Theophanes censeretur, quod confessionis notas has ac stigmata vultu præferret, qua de re scribit Logotheta. Καὶ ἐν μὲν ἐξορίᾳ τελευτᾷ ὁ ἐν ἁγίοις Θεόδωρος· καὶ τὸ λείψανον ἐν τῇ Χαλκηδόνι μονῇ τοῦ Μιχαηλίτζη, αὐτὸς ὁ κτίσας Μιχαὴλ ὕστερον ἀπεκόμισεν. ὁ δὲ ἀοίδιμος Θεοφάνης μέχρι Μιχαὴλ καὶ Θεοδώρας διήρκεσε, καὶ ὑπὸ τοῦ ἐν ἁγίοις Μεθοδίου πατριάρχου γενομένου χειροτονεῖται μητροπολίτης Νικαίας· ὡς καί τινας ἀγανακτοῦντας ἐπὶ τῇ τούτου χειροτονίᾳ καὶ λέγοντας, Ὅτι Σύρος ἐστί· καὶ τίς οἶδεν εἰ ὀρθόδοξος ὑπάρχει, μηδένος αὐτῷ μαρτυροῦντος. ἀπεκρίθη ὁ ἅγιος Μεθόδιος, λέγων, Ἐγὼ ὑπὲρ ταύτην τὴν μαρτυρίαν, ἣν ἐπιφέρεται (δείξας τὴν ἐν τῷ προσώπῳ γραφὴν) κρείττονα οὐ θέλω. *Ac quidem Theodorus in exilio diem obit, cuius Corpus Chalcedonem in Monasterium quod Michaëlitze vocant, ab ipso qui condidit, Michaële, postea translatum est. Inclytus autem Theophanes, ad Michaëlem vsque ac Theodoram superstes, à sancto Methodio, qui fuit Patriarcha, Metropolita Nicænus ordinatur; adeò vt quidam, eam ægrè ferrent ordinationem, atque dicerent, Homo Syrus est; & quis nouit an sit Orthodoxus, cum nemo ei testimonium deferat? Ad quos Methodius, Ego nullum aliud melius testimonium desidero, quam quod ille præfert; ostendens Iambis inscriptum vultum.* Quibus omnino βιογράφῳ consentit.

Ex his emendandi Continuator Vaticanus; itemque Ioannes Scylitz. & Cedr. qui ex illo mutuati sint, nec non auctor Orationis in festum Restitutionis Imaginum, qui omnes æquè superstitem Theodorum & Theophanem ponunt, ac conuiuio adhibent, quo Confes-

Arcus. nent Arcus quatuor, totidem efficientes latera. Eorum capita bina coëunt, pilarumque illarum fastigiis incumbunt: curuaturæ in immensum sublatæ pendent.

εἰ τὰ τοιαῦτα σοφοὶ ἡμικύλινδρον ὀνομάζουσιν, ἐς ὕψος ἀπότομον ἐπανέστηκεν. ἡ δὲ τοῦ ἔργου τούτου ὑπερβολὴ ἐς σφαίρας τεταρτημόριον ἀποκέκριται· ὑπερθέν τε αὐτοῦ μηνοειδές τι αὐτῇ ἕτερον τοῖς προσεχέσι τῆς οἰκοδομίας ἐπῆρται· τὰ μὲν εὐπρεπείᾳ, θαυμάσιον· τῷ δὲ σφαλερῷ τῆς συνθέσεως, δοκοῦν τι εἶναι φοβερὸν ὅλως. δοκεῖ γάρ πη οὐκ ἐν βεβαίῳ ἐπηωρῆσθαι, ἀλλ' ἐπικινδύνως τοῖς ἐνθάδε οὖσι μετεωρίζεσθαι· καίτοι διαφερόντως ἐν τῷ βεβαίῳ τῆς ἀσφαλείας ἐστήρικται. τούτων δὲ δὴ ἐφ' ἑκάτερα κίονες ἐπ' ἐδάφους εἰσίν, οὐδὲ αὐτοὶ κατ' εὐθὺ ἑστῶτες, ἀλλ' εἴσω κατὰ σχῆμα τὸ ἡμίκυκλον ὥσπερ ἐν χορῷ ἀλλήλοις ὑπεξανιστάμενοι· καὶ αὐτῶν ὑπεράνωθεν οἰκοδόμημα μηνοειδὲς ἀποκρέμαται. τοῦ δὲ δὴ ἕω κατατικρὺ τὰς εἰσόδους ἔχων ἐγήγερται τοῖχος, καὶ αὐτοῦ ἑκατέρωθεν οἵ τε κίονες καὶ τὰ αὐτῶν ὕπερθεν ὁμοιότατα τοῖς δεδηλωμένοις, ἐν ἡμικύκλῳ ἑστήκασι. κατὰ δὲ τὰ τοῦ νεὼ μέσα λόφοι χειροποίητοι ἐπανεστήκασι τέσσαρες, οὓς καλοῦσι πεσσούς· δύο μὲν πρὸς βορρᾶν, δύο δὲ πρὸς ἄνεμον νότον, ἀντίοι τε καὶ ἴσοι ἀλλήλοις, κίονας ἐν μέσῳ ἑκάτεροι κατὰ τέσσαρας μάλιστα ἔχοντες. πεποίηνται δὲ οἱ λόφοι λίθοις εὐμεγέθεσι συνθετοί, λογάδην μὲν συνειλεγμένοις, ἐς ἀλλήλους δὲ πρὸς τῶν λιθολόγων ἐπισταμένως ἐναρμοσθεῖσιν, ἐς ὕψος μέγα ἱκνούμενοι. εἰκάσαις ἂν αὐτοὺς εἶναι σκοπέλοις ὀρῶν ἀποτόμοις. ἐπὶ τούτοις δὲ ἀψῖδες τέσσαρες ἐν τετραπλεύρῳ ἀνέχουσιν· καὶ αὐτῶν τὰ μὲν ἄκρα ξυνδύο ξυνιόντα εἰς ἄλληλα, ἐν τῇ ὑπερβολῇ ἠρήρεισται τῶν λόφων τούτων· τὰ δὲ δὴ ἄλλα ἐπηρμένα, εἰς ἀπέραντον ὕψος ἠώρηται. τῶν δὲ ἀψίδων, αἱ μὲν δύο κατὰ

κενοῦ τοῦ ἀέρος ἐπανεστήκασι πρὸς
ἀνίσχοντά τε καὶ δύοντά που τὸν ἥ-
λιον· αἱ δὲ λειπόμεναι, οἰκοδομίαν
τινὰ καὶ κίονας μικροὺς κομιδῆ ἔνερθεν
ἔχουσιν· ὕπερθεν δὲ αὐτῶν κυκλοτε-
ρὴς οἰκοδομία ἐν στρογγύλῳ ἐπῆρται·
3. ὅθεν αἰεὶ διαγελᾷ πρῶτον ἡ ἡμέ-
ρα. ὑπεραίρει γὰρ οἶμαι, τὴν γῆν ξύμ-
πασαν, καὶ διαλείπει τὸ οἰκοδόμημα
κατὰ βραχὺ ἐξεπίτηδες παρειμένον
τοσοῦτον, ὅσον τοὺς χώρους οὗ δὴ τὸ
διῃρημένον τῆς οἰκοδομίας ξυμβαίνει
εἶναι, φέγγους διαρκῶς ἀγωγοὺς εἶναι.
Ταῦτα δέ, οἶμαι, γλώσσῃ τραυλι-
4. ζούσῃ τε καὶ ἰσχνοφώνῳ οὔσῃ, 4 ἀμή-
χανά ἐστι. τῶν ἀψίδων τῆς συμπλοκῆς
ἐν τετραγώνῳ ἐξειργασμένης, ἐς
τρίγωνα τέσσαρα μεταξὺ τὸ ἔργον
ἀποτετέλεσται. καὶ ἡ μὲν τριγώνου ἑκά-
στου κρηπὶς, πιεζομένη τῇ εἰς ἀλλήλας
τῶν ἀψίδων ἐνέρσει, ὀξεῖαν ποιεῖται
τὴν κάτω γωνίαν· συναναβαίνουσα δὲ
τὸ λοιπὸν εὐρυνομένη τῇ μεταξὺ
χώρᾳ, ἐς τὸ κυκλοτερὲς τελευτᾷ, ὃ
ταύτῃ ἀνέχει· γωνίας δὲ τὰς λειπο-
μένας ἐνταῦθα ποιεῖται. τούτου δὲ τοῦ
5. κυκλοτεροῦς παμμεγέθης ἐπανεστη-
κυῖά τις σφαιροειδὴς θόλος, ποιεῖται
αὐτὸ διαφερόντως εὐπρόσωπον. δο-
κεῖ δὲ οὐκ ἐπὶ στερρᾶς τῆς οἰκοδομίας διὰ
τὸ παρειμένον τῆς οἰκοδομίας ἑστάναι·
ἀλλὰ τῇ σειρᾷ τῇ χρυσῇ ἀπὸ τοῦ οὐ-
ρανοῦ ἐξημμένον, καλύπτειν τὸν χῶ-
ρον. ταῦτα δὲ πάντα ἐς ἄλληλα παρὰ
δόξαν ἐν μεταρσίῳ ἐναρμοσθέντα,
ἔκ τε ἀλλήλων ἠωρημένα, καὶ μόνοις
ἐναπερειδόμενα τοῖς ἄγχιστα οὖσι,
μίαν μὲν ἁρμονίαν ἐκπρεπεστάτην
τοῦ ἔργου ποιοῦνται· οὐ παρέχονται δὲ
τοῖς θεωμένοις αὐτῶν τινι ἐμφιλοχω-
ρεῖν ἐπὶ πολὺ τὴν ὄψιν. ἀλλὰ μεθέλκει
τὸν ὀφθαλμὸν ἕκαστον, καὶ μεταβιβά-
ζει ῥᾷστα ἐφ' ἑαυτό· ἀγχίστροφός τε
ἡ τῆς θέας μεταβολὴ ἐς ἀεὶ γίνεται,
ἀπολέξασθαι τοῦ ἰσορῶντος οὐδαμῆ

Ac duo quidem arcus, quorum alter ad Orientem ſolem, alter ad Occidentem ſpectat, vacuo in aëre erecti ſunt: reliquæ verò ſuppoſitum habent parietem cum columellis. Ædificium aliud ſuſtinent rotundum ac teres: vnde ſemper ortu iucunda dies primùm illuceſcit. Vniuerſa enim terra, credo, ſublimius eſt; ac ſenſim deficit, eatenus de induſtria tenuatum, vt per ipſius aperturas, lux affatim intret.

Hæc verò balbutiente ac gracili lingua expedire, impoſſibile puto. Arcubus in quadrum connexis, interiectum eſt opus, triangulis quatuor abſolutum. Ima trianguli cuiuſque pars, arcuum coitu preſsè intercepta, acutum facit angulum infimum: deinde cum intermedio ſpatio ſurſum verſus ſe explicans, ædificio, quod inde circinnato ſe offert ambitu, terminatur, ac cæteros angulos ibi efficit. Rotundum illud ſeptum mirificè ornat teſtudo ampliſſimè orbiculata, atque ita ipſi impoſita, vt non firmæ inniti fabricæ propter eius tenuitatem; ſed aurea catena ex cœlo apta pendere, & locum tegere videatur. Quæ omnia in ſublimi, incredibili opera inter ſe conſerta, aliaque ex aliis ſuſpenſa, ac proximis tantum ſuffulta partibus, vnam operis compagem præclariſſimam faciunt; neque vſpiam hærere diu ſinunt contuentium oculos: quippe cùm certatim alliciant ſingula, faciliméque ad ſe traducant. Perpetuo motu nunc huc fertur viſus, nunc illuc; neſcientibus ſpectatoribus quid ex omnibus, quò ſe eorum potiſſimum ferat admiratio,

Rotundus vertex.

eligant : sed & velut vndique lustrandi auidi, quocunque fixerint oculum, animum contrahentes & supercilium, artificiatum intelligere non possunt : sed semper digrediuntur, inde stupentes, quod spectaculo impares sunt. Atque hæc in hunc se modum habent.

Ædificij firmitas.

Ecclesiam tanto vertice fastigiatam Iustinianus August. & Anthemius machinarius cum Isidoro, multis ex arte adhibitis rebus firmarunt : quas omnes nec mente concipere, nec verbis exequi valeo. Vnam duntaxat in præsenti describam ; vnde quanta sit firmitas operis planè intelligetur : sic enim habet. Pilarum, de quibus mentionem proximè feci, non eadem est ac reliqui ædificij compositio ; sed huiusmodi.

Pilarum structura.

Quadrata est structura lapidum, quibus natura duritiem, ars læuorem dedit ; ita cæsis, vt ij quidem, qui eminentiis laterum cuiusque pilæ destinati erant, angulati sint ; quadrati verò, qui in medio sedent. Illos coagmentat, non calx, quam viuam vocant ; non bitumen, quo Semiramis magnificè construenda Babylone vsa est ; non eiusmodi aliud quidpiam ; sed plumbum ; quod lacunis infusum, omnia permeat interstitia, liquatumque juncturis lapidum, ipsos nectit. Hæc ibi obseruata fabricæ ratio : nunc ad reliquas templi partes pergamus.

Tota auro puro illita concameratio, commistam cum decore habens structuræ superbiam : aurum marmora æmulo fulgore vincunt. Vtrunque latus duæ circum Ædem porticus ambiunt, adeò non dissepientes structuram templi, vt potius

lati-

ἔχοντος ὅ,τι αὖ ποτε ἀγασθείη μᾶλ-
λον τῶν ἄλλων ἁπάντων. ἀλλὰ καὶ ὣς 6.
ἀποσκοποῦντες πανταχόσε, τόν τε νοῦν
ταῖς τε ὀφρύσιν ἐπὶ πᾶσι συννενευκό-
τες, οὐχ οἷοί τέ εἰσι ξυνεῖναι τῆς τέ-
χνης· ἀλλ' ἀπαλλάσσονται ἀεὶ, ἐνθένδε
καταπεπληγμένοι τῇ ἐς τὴν ὄψιν ἀ-
μηχανίᾳ. ταῦτα μὲν τῇδέ πη ἔχει.

Μηχαναῖς δὲ πολλαῖς βασιλεύς τε
Ἰουστινιανὸς καὶ Ἀνθέμιος ὁ μηχανο-
ποιὸς σὺν τῷ Ἰσιδώρῳ οὕτω δὴ με-
τεωριζομένην τὴν ἐκκλησίαν ἐν τῷ
ἀσφαλεῖ διεπράξαντο εἶναι· ὧνπερ
τὰς μὲν ἄλλας ἁπάσας ἐμοὶ εἰδέναι
τε ἄπορον, καὶ λόγῳ φράσαι ἀμηχα-
νον. μία δέ μοι μόνον ἔν γε τῷ πα-
ρόντι γεγράψεται, ἣ δύναται ἄν τις
σύμπασαν τοῦ ἔργου τεκμηριώσασθαι τὴν
δύναμιν. ἔχει γὰρ ὧδε. οἱ λόφοι ὧν-
περ ἐπεμνήσθην ἀρτίως, οὐ κατὰ ταὐτὰ
ταῖς ἄλλαις οἰκοδομίαις πεποίηνται,
ἀλλὰ τρόπῳ τοιῷδε. λίθων ἐπιβολὴ
ἐν τετραγώνῳ διαπεποίηται, σκλη-
ρῶν μὲν φύσιν, ἐργασίαν δὲ λείων· ἐκ-
τομὴν δὲ, εἰ μὲν τὰ προύχοντα ποι-
εῖσθαι τῶν τοῦ λόφου πλευρῶν μέλ-
λοιεν, ἐγγωνίων· εἰ δὲ τὴν μεταξὺ κε-
κληρωμένοι χώραν, ἐν τετραπλεύρῳ
γεγενημένων. συνήρμοσε δὲ αὐτοὺς οὐ
τίτανος, ἣνπερ ἄσβεστον ὀνομάζουσιν·
οὐκ ἄσφαλτος ἡ Σεμιράμιδος ἐν Βα-
βυλῶνι φιλοτιμία· οὐκ ἄλλο τοιοῦτον
οὐδέν· ἀλλὰ μόλιβδος ἐς τέλμα χυ-
θεὶς, καὶ μεταξὺ πανταχόσε χωρήσας
τῶν τε λίθων τῇ ἁρμονίᾳ ἐντετηκὼς,
καὶ συνδέων ἀλλήλοις αὐτούς. τοῦτο
μὲν οὖν ταύτῃ ἐξείργασται. ἐπὶ τὰ
λειπόμενα δὲ τοῦ νεὼ ἴωμεν.

Χρυσῷ μὲν ἀκιβδήλῳ καταλήλειπται
ἡ ὀροφὴ πᾶσα, καὶ κεραννῦσα τὸν κόμ- 7.
πον τῷ κάλλει, νικᾷ μέντοι ἡ ἐκ τῶν
λίθων αὐγὴ ἀνταστράπτουσα τῷ χρυ-
σῷ. στοαί τέ εἰσιν ἑκατέρωθι δύο, οἰ-
κοδομίαν μὲν τοῦ νεὼ οὐδεμίαν διειρ-
γόμεναι, ἀλλὰ καὶ μεῖζον αὐτοῦ ποιοῦσαι

τοῦ

τοῦ εὔρους τὸ μέτρον, καὶ τοῦ μήκους μέχρι ἐς τὸ πέρας ξυνεξικνούμεναι, τὸ δέ γε ὕψος καταδεέστεραι. καὶ αὐταῖς, ἥ τε ὀροφὴ, θόλος· καὶ ὁ χρυσὸς, ἐγκαλλώπισμα. ταύτοιν δὲ τοῖν στοαῖν, ἀτέρα μὲν τοὺς ἄνδρας εὐχομένους διακεκλήρωται· γυναιξὶ δὲ ταὐτὸ ποιουμέναις ἡ ἄλλη ἀνεῖται. παραλλαξ δὲ οὐδὲν ἔχουσιν, οὐδὲ διαφέρουσι δή τι ἀλλήλαιν· ἀλλὰ καὶ τὸ ἴσον αὐταῖν τῷ ἱερῷ ἐς κάλλος διήκει, καὶ ὡραΐζει τὸ ἐμφερές.

Τίς, ἂν τῶν ὑπερῴων τῆς γυναικωνίτιδος ἑρμηνεὺς γένοιτο· ἢ τὰς τὸ
8. παμπληθεῖς διηγοῖτο στοὰς ȣ καὶ τὰς περιστύλους αὐλὰς, αἷς ὁ νεὼς περιβέβληται. τίς δὲ τῶν τε κιόνων καὶ λίθων διαριθμήσαιτο τὴν εὐπρέπειαν, οἷς τὸ ἱερὸν κεκαλλώπισται. λειμῶνί τις ἂν ἐντετυχέναι δόξειεν ὡραίῳ τὸ ἄνθος. θαυμάσειε γὰρ εἰκότως, τῶν μὲν τὸ ἁλουργὸν, τῶν δὲ τὸ χλοάζον· καὶ οἷς τὸ φοινικὸν ἐπανθεῖ, καὶ ὧν τὸ λευκὸν ἀπαστράπτει· ἔτι μέντοι καὶ οὓς τῶν ἐναντιωτάταις ποικίλλει χρόαις, ὥσπερ τις ζωγράφος, ἡ φύσις. ὁπηνίκα δέ τις εὐξόμενος ἐς αὐτὸ ἴοι, ξυνίησι μὲν εὐθὺς, ὡς οὐκ ἀνθρωπείᾳ δυνάμει ἢ τέχνῃ, ἀλλὰ Θεοῦ ῥοπῇ τὸ ἔργον τοῦτο ἀποτετόρνευται· ὁ νοῦς δέ οἱ πρὸς τὸν Θεὸν ἐπαιρόμενος ἀεροβατεῖ, οὐ μακράν που ἡγούμενος αὐτὸν εἶναι, ἀλλ' ἐμφιλοχωρεῖν μάλιστα οἷς αὐτὸς εἵλετο. καὶ τοῦτο, οὐ τὴν πρώτην μόνον ἰδόντι ξυμβαίνει, ἀλλὰ διηνεκὲς ἑκάστῳ ταὐτὸ τοῦτο δοκεῖ, ὥσπερ ἐνταῦθα τῆς ὄψεως ἀρχομένης. τούτου κόρον οὐδεὶς τοῦ θεάματος ἔλαβε πώποτε· ἀλλὰ παρόντες μὲν τῷ ἱερῷ ἄνθρωποι τοῖς ὁρωμένοις γεγήθασιν· ἀπιόντες δὲ, τοῖς ὑπὲρ αὐτοῦ διαλόγοις ἀποσεμνύνονται. ἔτι μέντοι τῶν κειμηλίων τοῦ νεὼ τοῦδε τά τε χρυσώματα, καὶ τὰ ἐν ἀργύρῳ καὶ λίθοις

latitudinem eius amplient; pari quidem cum ipso longitudine ad extrema porrectæ, sed altitudine inferiores. Cameratæ, atque auro decoratæ sunt: altera precantibus viris assignata; altera, fœminarum itidem vota precesque Deo offerentium obsequio addicta; nihil habent disparile, nihil diuersum. Nec parum confert ad templi decus hæc ipsarum æqualitas, ac venusta exquisita similitudo.

Virorum ac mulierum ad Templi latera porticus.

Quis gynæcei superiores ædes describat? Quis tot numero circum Ædem porticus, xystosque sermone obeat? quis columnarum atque marmorum quibus egregio templum nitore collucescit, elegantiam cultumque percenseat? In prato floribus conuestito versari se quispiam putet, ac meritò horum purpuram, illorum viriditatem miretur; alia puniceo, alia candido fulgore prædita; & quæ Natura, haud secus ac pictor, coloribus dissimilibus variauit. Vbi quis precaturus illuc ingressus sit, statim intelligit non potentiæ artisve humanæ, sed diuini numinis id esse opus, & leuata ad Deum mente, cœlum perambulat, sic statuens, non procul eum abesse, verùm sede illa potissimum gaudere, quam sibi ipse delegerit. Nec nouo solum spectatori hæc incidit cogitatio, sed semper cuiusque animo redit, pariter ac si tum primùm illa oculis obuersarentur. Videndi facietas neminem vnquam cœpit: sed qui sunt in templo, aspectu suauissimo oblectantur: egressi, in sermonibus, quos de illo miscent, triumphant. Iam verò quicquid pre-

tiosæ ſuppellectilis huic Ædi Iuſtinianus Aug. donauit, aurum, argentum, gemmas, vt ſingulatim commemorem; fieri nequit: permitto Lectoribus ex vno conjecturam facere. Templi locus maximè ſacer, & cuiuis, præterquam Sacerdotibus inacceſſus (Altare vocant) argenti pondo habet quadraginta millia.

Vt ſemel finiam, ſummo, quod aiunt, digito percurſis, & oratione breuiſſima comprehenſis, quæ ſunt memoratu digniſſima; ſic Iuſtinianus Auguſtus, Conſtantinopolitanam Eccleſiam, quæ vulgo Magna dicitur, ædificauit; non ſuis modò ſumptibus, ſed labore etiam ingenij & reliqua virtutis contentione; provt mox declarabo. Arcuum, de quibus paulò ſuprà memini (eos *loros* appellant mechanici) is qui ad Solem orientem oppoſitus eſt, hinc inde iam ſurgebat, medioque imperfecto, manum extremam expectabat: cùm pilæ, quibus incumbebat, ſub grauiori mole fatiſcentes, repente facto vitio, imminentis ruinæ ſpeciem præbuerunt. His Anthemins & Iſidorus in maximum adducti metum, rem omnem ad Imperatorem referunt, nullam ponentes ſpem in arte. Illico Imperator, neſcio quo inſtinctu, cœleſti opinor (neque enim mechanicus eſt) curuaturam arcus abſolui iubet. *Is namque*, ait, *ſeipſo fultus, pilis ſuppoſitis amplius non egebit.* Ac niſi teſtes proderem; narratio proculdubio adulatoria planéque incredibilis haberetur: cùm autem rei tunc geſtæ permulti teſtes adſint, me nihil te-


Iuſtiniani ſolertia.


ἀντιμοις ἅπαντα μὲν φράσαι ἀκριβολογουμένῳ ἀμήχανον, ἃ δὴ Ἰουστινιανὸς βασιλεὺς τῇδε ἀνέθηκεν. ἑνὶ δὲ μόνῳ τεκμηριοῦσθαι τοῖς τάδε ἀναγνωσομένοις ἐφίημι. ὁ γὰρ τοῦ ἱεροῦ τὰ μάλιστα χῶρος ἄβατος, καὶ μόνοις ἱερεῦσι βατός, ὃν δὴ καλοῦσι θυσιαστήριον, λιτρῶν ἀργύρου μυριάδας ἐπιφέρεται τέτταρας.

Τὰ μὲν οὖν Κωνσταντινουπόλεως ἱερὸν μεγάλην καλεῖν νενομίκασι, συνελόντι τε καὶ ἄκρῳ δακτύλῳ διαριθμησαμένῳ εἰπεῖν, λόγῳ τε βραχυτάτῳ τὰ τῶν πραγμάτων ἀξιολογώτατα φράσαι, τῷ δὲ Ἰουστινιανῷ δεδημιούργηται βασιλεῖ. οὐ χρήμασι δὲ αὐτὸ ὁ βασιλεὺς ἐδείματο μόνον, ἀλλὰ καὶ πονουμένῃ τῇ διανοίᾳ καὶ τῇ ἄλλῃ τῆς ψυχῆς ἀρετῇ, ὥσπερ ἐγὼ αὐτίκα δηλώσω. τῶν ἁψίδων, ὧν δὴ ἐπεμνήσθην ἀρτίως (λώρους δὲ αὐτὰς οἱ μηχανοποιοὶ ἐπικαλοῦσι) μία τις, ἡ πρὸς τὸν ἀνίσχοντα ἥλιόν ἐστιν, ἐπανειστήκει μὲν ἑκατέρωθεν ἤδη, οὔπω δὲ ὅλη τὸ μέσον συνετετέλεστο, ἀλλ' ἔμενεν ἔτι. οἱ δὲ πεσσοί, ὧν δὴ ὕπερθεν ἡ οἰκοδομία ἐγίνετο, τῶν ἐγκειμένων σφίσιν οὐκ ἐνεγκόντες τὸ μέγεθος, ἀμηγέπῃ ἐξαπιναίως ἀπορρηγνύμενοι, οὐκ ἐς μακρὰν διαλυθησομένοις ἐῴκεσαν. οἱ μὲν οὖν ἀμφί τε τὸν Ἀνθέμιον καὶ Ἰσίδωρον τοῖς συμπεπτωκόσι περίφοβοι ὄντες, ἐπὶ τὸν βασιλέα τὸ πρᾶγμα ἦγον, δυσέλπιδες ἐπὶ τῇ τέχνῃ γεγενημένοι. αὐτίκα δὲ ὁ βασιλεύς, ὅτου μὲν ποτὲ ἠγμένος, οὐκ οἶδα· Θεοῦ δέ, οἶμαι (οὐ γάρ ἐστι μηχανικός) ἐς τὸ πέρας αὐτοῖς περιελίξαι τὴν ἁψῖδα ταύτην ἐπήγγελλεν. αὐτὴ γάρ, ἔφη, ἐφ' ἑαυτῆς ἀνεχομένη, τῶν ἔνερθεν πεσσῶν οὐκέτι δεήσεται. καὶ εἰ μὲν ὁ λόγος ἀμάρτυρος ἦν, εὖ οἶδα ὅτι κόλαξ τε ἂν ἔδοξεν εἶναι καὶ ἄπιστος ὅλως· ἐπεὶ δὲ μάρτυρες πάρεισι τῶν

τινι τάδε περαιτέρω πεπραγμένων πολλοί, οὐκ
ὀκνητέα ἡμῖν ἐπὶ τὰ τοῦ λόγου λει-
πόμενά ἐστιν. οἱ μὲν οὖν τεχνῖται τὰ
ἐπιτεταγμένα ἐποίουν· ἡ δὲ ἁψὶς
ἐπ' ἀσφαλοῦς ἠώρητο πᾶσα, ἐπι-
σφραγίζουσα τῇ πείρᾳ τῆς ἐννοίας
ἀλήθειαν. Τοῦτο μὲν οὖν ταύτῃ ἐξειρ-
γασται· κατὰ δὲ τὰς ἄλλας ἁψῖδας, αἵ
τε πρὸς μεσημβρίαν τετραμμέναι
εἰσὶ καὶ βορρᾶν ἄνεμον, τοιάδε ξυ-
νενηνέχθη γενέσθαι. οἱ μὲν λῶροι κα-
λούμενοι τῆς ἴσω τῇ οἰκοδομίᾳ ἐξαρ-
καμένοι ἠώρηντο. βαρυνόμενα δὲ
αὐτοῖς ἐπιπονήκει τὰ ἔνερθεν πάν-
9. τα· κίονές τε οἱ τῇδε ὄντες 9 χάλι-
κας μικρούς, ὥσπερ ἀποξυσθέντες,
ἀφίεσαν. καὶ αὖθις μὲν ἄθυμοι τοῖς
συμπεπτωκόσιν οἱ μηχανικοὶ γεγενη-
μένοι, τῷ βασιλεῖ τὰ σφίσι παρόν-
τα εἰσήγγελλον. αὖθις δὲ ὁ βασι-
λεὺς ἀντεπεχνήσατο τάδε. τούτων δὴ
τῶν πεπονηκότων τὰ ἄκρα ὅσα τῶν
ἁψίδων ἐπέψαυε, διελεῖν μὲν ἐν τῷ
παραυτίκα ἐκέλευσεν· ἐνθεῖναι δὲ
πολλῷ ὕστερον, ἐπειδὰν τὸ τῆς οἰκοδο-
μίας ὑγρὸν ἀπολωφήσειν αὐτοῖς μά-
λιστα. καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν· ἡ δὲ κτίσις διαγέγονε τὸ λοιπὸν ἐν ἀσφαλεῖ οὖσα.
φέρεται δέ τι μαρτύριον ὁ βασιλεὺς τοῦ ἔργου τοιόνδε.

nere debet, quominus quod ſum exorſus pertexam. Ergo mandata confecerunt artifices: tum arcus in cœlum eductus interger conſtitit, experimento probans veritatem conſilii. Quo ibi acto, arcubus ad Meridiem & Aquilonem ſpectantibus iſtud accidit. Loris, vt vocant, ſubtractione templi ſuperbè elatis, quicquid erat inferius, ſub pondere laborabat. Columnæ ſubditæ aſſulas perinde dimiſerant, ac ſi quis ipſas diſtrinxiſſet. Eiuſmodi caſu perculſi mechanici, iterum Imperatori ſignificant quo res loco ſit. Ille iterum vſus ſolertia, ita malo occurrit. Succumbentis fabricæ partes ſummas arcubuſque contiguas extemplo deijci, & multò poſt, vbi ſtructuræ humor penitus exceſſiſſet, reponi iuſſit. Quo ab illis præſtito, ædificium ex eo firmitatem obtinuit: nec deeſt Imperatori hoc operis teſtimonium.





AD
PROCOPII RHETORIS
LOCVM DE SANCTA SOPHIA.



Vod alij breuioribus delectentur, alij fusioribus; vbi præsertim breuiora illa maioris fidei videantur; puta certo auctore ac æquali, qui rerum ipse ex visu testis sit; omnibus me facturum satis putaui, si felici partu ex Regia Lupara saniori longè edito Procopio, eruditi Viri Claudij Mastreti S.I. opera (noui etiam Interpretis) id nactus quod diu antè optaueram, vt tandem ille sic illustratus ac instauratus, lucem aspiceret, priusquam hæc mea, incertique auctoris de sanctæ Sophiæ Ædificio ad vmbilicum venirent; hunc illius locum ipse huc transferrem, meoque ipse genio ac stylo componerem; ac, si quando necesse videretur, incerto illi meo compararem, atque alterum altero illustrarem. Qui vellem Notas historicas addere, ac vel laudare Iustinianum tanto eius molimine, vel vituperare; præsertim occasione incendij superioris Ecclesiæ ac illius seditionis Nica, in qua tot ciuium capita periere; parumque abfuit ne & ipse Iustinianus, à cuius labe coitionis nec ille prorsus immunis habeatur, qui antè Venetæ factioni tantam licentiam in Prasinos dederit: quos vtrosque successor Iustinus, ac Iustiniano solertia illa cautior ac sapientior, ita coërcuit, vt deinceps tantæ illæ turbæ cessarent, ac ciues quietem colerent. Partium videbatur docti Interpretis, vt Nicolai Alemannij Notas in Ἀνέκδοτα, quas vnas repræsentauit, cum Eichelij confutationibus, seu animaduersionibus conferret, eiusque vel depelleret crimina, vel quo Iustiniani læsam majestatem is rectè tueatur, libratis omnibus ac æquo iudicio, laudaret. Sic certè Regia dignissimum Lupara, ac in ea ferè palmarium Historiæ Byzantinæ librum opusque haberemus. Mihi in eam rem vt tentem aliquid, extra metas sit: qui & breui volumine exque semisse illius Vrbis decora quædam ac origines tentans, breui cogor de tabella manum leuare. Ἀνεκδότων auctor siquidem ipse Procopius est, ipse sibi maiorem fortè quàm Iustiniano labem asci-

uit, ac quicquid reliquæ eius historiæ est, plurimum eleuauit. Siquidem enim fecit, exemplo Michaëli Psello præiuit, ac quorundam in gente (gentis enim nolim dicere, in qua tot lumina omni retro sæculo claruere, ac quam in Christo, Patrum maximè reuerentia charissimam habeam optemque saniorem ac beatiorem) versatile ingenium cuiusmodi sit, ac quàm versatile, dum vtile sequitur, honestum spernit, palam ostendit. Psellus quippe quàm luculenta Oratione ad Synodum Michaëlem Cerulareum Patriarcham Constantinop. ciuili potestate Sede extrusum pro Synodo exagitauit, ac impietatis, tyrannidis, aliorumque seriò accusauit, tam propensè eundem inter hæc vita functum laudauit, cunctaque illius magna & eximia, vt & magnis illis veteris æui Antistibus atque Magistris conferendus videri possit, obtrusit; eo maximè nomine efferens, quòd sopitam de processione Spiritus sancti à solo Patre Græcorum in Latinos querelam acriùs deffendit; vixque non emortuum Photianum schisma, in æternum postea conuiuiscens nullisque cedens remediis exsuscitauit; quo se forex prodidit, multamque sibi detraxit fidem; atque iis, quos propensius colit, etiam labem asciuit, ne & illos par furor exagitauerit, eoque sanctiores habiti sint, quo magis capitosi, atque ab Ecclesiastica pace ac vnitate alieni. Latuit res illa eruditissimum Leonem Allatium in suo syntagmate de Psellis, quod idcirco, aliisque ex causis, secundis suis curis vulgatum auctumque voluerat, ex eorum præsertim Catalogo, quem ei ex Emin. Card. Mazarini Cod. pridem descripsi; ipso locupletissimo, etsi pluribus carioso ac obliterato; quam fere sortem Pselli eiusdem Codicum queritur idem Allatius. Mihi illius reposita omnia; quæ eorum temporum historiam sacram pariter ac profanam illustrare possint, atque ad Historiam Byzantinam momenti sint.

1. *Προδιασκευάζων ἰνδάλματα.* Sunt hæc prototypa ac exemplaria; atque vt Plinium secutus lib. 35. cap. 12. (vbi is tradit, *Archesilai proplasmata pluris vanire solita ab artificibus ipsis, quàm aliorum opera*) Græca voce notiori reddidi, *proplasmata.* Modellum vocant; & est futuri operis structa forma atque idea, cuius designatio summi Architecti est: aliorum artificum vt exequantur, & in materiam inducant. *Imagines*, qui hæc vocet, non satis ex architecturæ rationibus loqui videatur; cuius hæc primis elementis Vitru. adscribit lib. 1. cap. 2. Vbi Gulielmus Philander Castilionus potest videri. Auctor Anonym. monstratum ab Angelo Imperatori in somnis τοῦ οἴκου τὸ σχῆμα, ait: quod non vetat, quin summi architecti fuerit singula designare, quibus ad illud Ædes σχῆμα in materia (formam scilicet) proueheretur.

2. *Τῷ τε γὰρ ὄγκῳ κεκόμψευται.* Non putem docti esse Interpretis; quod repræsentat Regia Lupara, *Nam & nitore & proportione ex-*

cellit. Scripſerit & ipſe *mole*; vti etiam reddit Arnoldus Veſalienſis, *mole politum.* Illud quoque *excellit*, minus eſt ad vim vocis, κομψεύεται: magiſque elegantiam compoſitionis, & in ea præſtantiam, oſtendit.

3. Ὅθεν ἀεὶ διαγελᾷ πρῶτον ἡ ἡμέρα. Hîc quoque mendo Luparæ, *Vnde dies videre ſemper incipit* pro, *ridere*, quod & emendatum inter varias lectiones. Non plene omnino Veſalienſ. & vt metaphoræ vim ſatis reddat, *Vnde dies primùm illuceſcit.* Ipſa nota, in vere, in aëre, atque hîc in die, ex Theophr. de Hiſtor. Plant. lib. 8. 2. &c. διαγελώσης τῆς ὥρας. *vere iam adulto* & tempore miteſcente. Bud. διαγελῶντος ἀεὶ τοῦ ἀέρος. *Aëre iam indulgente.* Gaza. Hicque adeo. διαγελᾷ πρῶτον ἡ ἡμέρα. *Dies primùm læta ſplendeſcit*, aut quid ſimile pariſque elegantiæ.

4. Ταύτῃ δὲ, οἶμαι, γλώσσῃ. Ita mihi ex Veſalien. ipſoque pauló infra Procopio (λόγῳ φράσαι ἀμήχανον, hæc ipſa profitenti, *impoſſibile vt ſermone enarret*) emendandum ſuccurrit: vbi Hoeſch. οἶμαι, οὐδὲ γλώσσῃ· quod junctum τῷ, ἀμήχανόν ἐστι, ſenſum facit ineptiſſimum; ipſum quem Maſtretus reddidit, ac quo Procopius profiteatur, non eſſe impoſſibile aut valde arduum balbutiente lingua & impedita aſſequi, ſeu enarrare, ea, quorum tantis miraculum effert; & quæ omnes facilè ſpectatores in ſtuporem verterent. Quid ſi hiulca oratio, ſcripſitque Procopius, οὐδὲ νῷ ληπτὰ, καὶ γλώσσῃ. *Ne mente quidem comprendi; vt vero lingua balbutiente & impedita, gracilique explicentur, impoſſibile eſſe.* Sic ſæpe cruces figunt qui auctorum verba ac ſententias truncant, vnde vix ſe Lector expediat, fiantque illi verè ἀμήχανα, quæ ipſa vt ab auctoris calamo exierunt, erant εὐμήχανα: *facilia & expedita*; quorum exemplum nefaſtum edidere nuper Lugdunenſes Typographi, in Curſu Theologico Ioannis à ſancto Thoma, Theologi noſtræ ætatis clariſſimi, ac inter ſancti Thomæ diſcipulos inclyti; non vno aut altero loco, ſed verè ſexcentis.

5. Παμμεγέθης ἐπανέστηκέ τις σφαιροειδὴς θόλος. Vocat Anonymus ἐσωτερικὸν τροῦλλον. Trulam vel trulum ſeu copulam, quæ temerarij auſus aliquid haberet: quod eius breui ſecuta ruina arguit, qua præcipua quæque auguſtæ illius domus comminuta; ipſe ſcilicet altaris locus, & in eo ſacra menſa, quæ ex omnium rerum fuſilium ſpeciebus miro artificio conflata, omni auro omnique genere lapidum pretioſior erat; ipſa vna, mira concretione exiſtens omnia. Soleas quoque & altari vicina loca & ornamenta, cancelli aliaque confracta, nulla deinceps Iuſtini aliorumue Principum munificentia, pro priore illa majeſtate, vni Magno Iuſtiniano debita, reparanda.


6. Ὡς ἀποπονοῦντες πανταχόσε. Maſtr. ſequentem vocem, τὸν νοῦν, jungit particip. ἀποπονοῦντες, cum palam, ſicut & ſequens, πῇ τι ὁρῶς cum ſequenti jungenda ſit, συντετευχότες: quas etiam conjunctio nectit. Significat verò auctor, quicquid videatur ex tantis illis ſpecta-

cu'is aspectu stuporem iniicere, sensumque ac supercilium videntis detrahere, vt ex alio in aliud spectandi auidus semper digrediatur, nec artificium, quantum est, vnquam assequatur. Hæc an velit nouus Interpr. Lector viderit. Antiquus non satis feliciter exprimit.

7. Κεραννύσα τὸν κόσμον τοῦ κάλλει. Tribuit Lupara August. velut habeat κόσμοι· vbi tamen æquè κόσμον reperi: velit, parem cum elegantia magnificentiam: alterum artis subtilitas maximè præstabat, alterum materiæ pretiositas, aurum scilicet, variique generis pretiosissima marmora; nostro Anonymo plenius exposita.

8. Καὶ ταῖς περιστύλοις αὐλαῖς. *Columnatas aulas*, quod reddit Mastretus, mihi satis durum. Alteram altera voce explicare voluit Procopius, suntque illi, quas ita vocat, ipsæ στοαὶ, seu *porticus*. Peristylia vocat Vitruuius lib. 6 cap. 4. suntque vestibula, xysti, impluuia: Euangeliorum Latini Interpretes reddunt, *atria*. Athenæus tradit αὐλὴν appellari perflabilem locum; & διαυλωνίζειν dici locum, vtrinque ventum excipientem. Ab his locis subdialibus in quibus pro regiarum vestibulis prætorianorum excubiæ, regias ipsas dictas αὐλαὶ Menandro & Diphilo, auctor idem Athenæus: nobisque etiamnum sic vocantur. Priore duntaxat sensu Homerus vsurpauit.

9. Χάλικας μικροὺς ὥσπερ ἀποξυσθέντες, ἀφίεσαν. De quibus hæc narrat Procopius, πεσσοὶ præcipuè erant, seu pilæ illæ atque aggeres, quibus potissimùm arcus illi maiores nitebantur, vti paulò antè dixit de pilis fatiscentibus sub arcus onere ad Orientem oppositi: in pilis autem nihil calcis adhibitum aut cæmenti auctor Procopius, & ipse Auctor Anonymus; sed horum loco in petrarum lacunis liquatum plumbum: non ergo illis verbis columnas cæmentum dimisisse tradit, quod Mastretus reddit; *Columnæ subditæ cæmentum perinde dimiserant, ac si quis eas distrinxisset*, sed assulas, vt vocat Vitruuius, ac lapidum segmenta ex iis dissiliisse; incrustationes, μαρμαρώσεις, quibus parietes aliaque obducta erant, labefactatas esse. Id enim imminentis ruinæ indicium, ac verè laborantis fabricæ, nimio iniecto molis pondere.



ΦΩΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΕΚΦΡΑΣΙΣ

τῆς ἐν τοῖς βασιλείοις νέας ἐκκλησίας τῆς ὑπεραγίας Θεοτόκου, ὑπὸ βασιλέως τοῦ Μακεδόνος οἰκοδομηθείσης.

PHOTII PATRIARCHÆ

CONSTANTINOPOLITANI,

Nouæ ſanctæ Dei Genitricis Eccleſiæ, in Palatio à Baſilio Macedone extructæ, Deſcriptio.

LÆTVM video præſentis diei conuentum: ac qualem nemo humanâ ſolertiâ atque operâ, ac niſi diuini afflatu Numinis conflare potuerit. Quamobrem etiam iucunda gratiæ ſuſpicio munera, vnáque cum vegeto ac pingui, lætoque Chriſti grege conuentum agente, lætitiâ exulto; qui nempe, non ad nos duntaxat ſolennitatis lætitiam ac iucunditatem finiri intelligam, ſed ad ipſum communem Dominum eius venerationem ſpectare non neſciam. Solennitatis namque ſplendor, quanta nobis celebrantibus gloriatio eſt, tantùm eius, quâ Dominum proſequimur, dilectionis manifeſta præbet indicia. Quando verò, ne eorum quidem quæ annuo ex more ritu peraguntur, memoriam celebrat, ſed noui cuiuſdam recentiſque in Deum

ΦΑΙΔΡΟΝ ὁρῶ τῆς παρούσης ἡμέρας τὸν σύλλογον, καὶ οἷον οὐκ ἄν τις ἀνθρωπίνῳ σπουδάσματι, καὶ χειρὸς θείας συγκροτήσαι ῥοπῆς κατισχύσειε. διὸ καὶ τερπνὰ τῆς χάριτος ὑποδέχομαι τὰ χαρίσματα, καὶ τῷ Χριστοῦ ποιμνίῳ εὐθηνουμένῳ καὶ χαίροντι συναγαλλιαζόμενος ἐπαγάλλομαι· οὐ μέχρις ἡμῶν περιγραφομένην τὴν τερπνότητα καὶ θυμηδίαν τῆς πανηγύρεως ἐπιστάμενος, ἀλλ' εἰς αὐτὸν τὸν κοινὸν δεσπότην ἀναφερομένην εἰδὼς τὴν σεβασμιότητα. λαμπρότης γὰρ πανηγύρεως, ὅσον ἡμῶν τῶν πανηγυριζόντων τὸ σεμνολόγημα, τοσοῦτον τῆς δεσποτικῆς ἀγάπης ἐναργῆ παρέχεται τὰ γνωρίσματα. ὅταν δὲ μηδὲ τῶν ἐτησίως καὶ συνήθως ἐπιτελουμένων εἴη τὴν ἀνάμνησιν ἑορτάζουσα,

ἑορτάζουσα, ἀλλὰ χαρμονήν τινα καὶ ἀντιφορὰν τὴν εἰς Θεὸν τιμὴν ἐγκαινίζουσα, πῶς οὐ μᾶλλον ἔτι καὶ τὸν θεῖον ἔρωτα ἀναδειχθείη ἐκπυρεύοντα, καὶ τὴν τῶν ἑορταζόντων κοσμιότητα καὶ τὸ κλέος ἐπὶ πλέον ἀναπτύσσουσα. ἀλλὰ τίς ἡ τοσαύτη τοῦ πλήθους συνδρομὴ καὶ συνέλευσις. τίς ἡ πανήγυρις. τί τὸ συγκαλέσαν καὶ συγκινῆσαν ἡμᾶς ἅπαντας; βούλεσθε εἴπω; ἢ καλὸν ἐκείνῳ παραχωρῆσαι καὶ εἰπεῖν καὶ διδάξαι τῆς πανηγύρεως τὴν ὑπόθεσιν, τῷ χορηγῷ τε ἅμα ταύτης καὶ σοφῷ γε ἀρχιτέκτονι. ἐκεῖνος γὰρ ἱκανὸς λόγοις παραστῆσαι τὸ προκείμενον, ὃς τοὺς τύπους τῶν πραγμάτων ἐν τῇ ψυχῇ προενθέμενος, ἀμίμητον ἔργον ἐπὶ γῆς πανσόφως ὑπεστήσατο.

Λέγε τοιγαροῦν ἡμῖν, ὦ βασιλέων φιλοχριστότατε καὶ θεοφιλέστατε, καὶ πάντας τοὺς ἔμπροσθεν νικῶν τε ἅμα καὶ λαμπρῶς φαιδρύνων τῇ κοινωνίᾳ τοῦ ἀξιώματος. λέγε προθύμους, ὡς ὁρᾷς, τοὺς ἀκουσομένους ἔχων, ἐφ' ὅτῳ ἡμᾶς συνεκάλεσας. δεῖξον τοῖς λόγοις, ἃ τοῖς ἔργοις προϋπέδειξας. ἆρα γὰρ πάλιν κατὰ βαρβάρων νίκας ἀναστήσας καὶ τρόπαια, οἷς πολλάκις ἄλλοις ἐπ' ἄλλοις ἡμᾶς ἐδεξιώσω φιλοφρονούμενος, ἐπὶ τούτοις συνήγειρας, εὐφρᾶναι τε ἅμα καὶ τῷ δεδωκότι κοινὴν καὶ πάνδημον ἀναπέμψαι τὴν εὐχαριστίαν. ἢ λαβὼν ὑποσπόνδους ἄλλους, καὶ ταπεινώσας ὑψηλὸν καὶ γαῦρον καὶ ἀλλόφυλον φρόνημα, ὡς ἐπὶ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ εὐσεβοφρόνως ἀναφέρων πάντα τὰ σοὶ κατορθούμενα· ἢ πόλεις ὑπηκόους, τὰς μὲν πάλαι κατακειμένας ἀνορθώσας, τὰς δὲ καὶ ἐκ βάθρων αὐτῶν ἀνεγείρας, καὶ ἄλλων ἀνοικισμοῖς ἐργασάμενος, καὶ τοῦ πολι-

Deum honoris encænia habet, quomodo non etiam magis diuini flammam amoris accenderit, magisque etiam eorum qui celebrant morum honestatem gloriamque in lucem protulerit? At, quinam tantus hic plebis concursus atque conuentus? quæ panegyris? quis nos omnes pariter vocauit, ac traxit? Vultis dicam? an præstet ei propensius dicendi atque docendi partes cedamus, qui solennitatis occasio ac causa sit; qui eius & auctor, & sapiens architectus existit? Ille enim etiam meritò subjectum argumentum sermonibus repræsentauerit, qui antè animo conceptis rerum formis, omni maius imitatione in terra opus condidit.

Dicas igitur nobis, ô Imperator Christi amantissime ac religiosissime, cunctosque superiores ipse pariter vincens, ac dignitatis consortio præclarè exhilarans. Dicas, cui, vt vides, omni alacritate præsto auditores sint, quâ ex causa inuitaueris? Ostendas verbis, quæ priùs ipsis rebus ostendisti. Num enim rursus aduersus barbaros victos, tropæa erexisti? Quibus multis continuisque liberaliter accepisti, his congregasti, vt pari gaudio fruamur, communemque ac populi vniuersi conuentu, victoriæ largitori gratiarum actionem promamus; aut, qui hostes datâ fide dedititiósque acceperis, sublimemque & superbum alienigenarum animum sensumque depresseris, velut qui pio religiosóque animi sensu cuncta tibi præclarè gesta, in potentem Dei manum referas; aut qui imperio subjectas vrbes, alias quidem, cùm pridem ciues alerent, melioribus ipse institutis composue-

Basilij res perstrictæ, inq; Remp. munera.

ris, alias etiam à fundamentis erexeris, aliasque instauraueris, ac Imperij fines crebris oppidis præsidiisque cómunieris; aut qui diues ipse, subditos beatos efficias; doce nos, in quem orbis terrarum communem oculum toti aspiciamus; cuius tandem horum gratiâ inuitasti? Aut siles ipse, imperáte modestiâ, & quod tua ipse nolis narrare facinora, quibus necesse laudé contexamus: mihi verò præbes, vt tuarum ipse afflatu rerum, præsentis conuentus causam omnium auribus ex oratoris munere inferam.

Templi Encænia & dedicatio.

Alia igitur, amici, celebritas, aliudque hodiernâ die mysterium. Virginalis in terrâ Templi Encænia hodie peraguntur, Deique Matris, si quod aliud in mundo, dignum habitaculum consecratur. Virginale in terrâ Templum hodie dedicatur, Regalis magnificentiæ opus reipsâ multis laudum canticis celebrandum.

Templi exagerata pulchritudo.

Templum in medio ipso Palatio, diuinum aliud venerandumque Palatium excitatur; eiusmodi scilicet, vt si cum aliis conferas, ac eorum rationem habeas, Regia ipsa Palatia, priuatæ ædes apertè arguantur; quinimmò quod suâ, quâ pollet claritate ac venustate, illa quoque illustret ac reddat clariora, priorem illis mundum atque ornatum adaugeat. Dicas, oculos in ipsum coniiciens, non humanæ artis opus esse, sed diuinam quandam nobisque superiorem Virtutem pulchritudinem illi indidisse. Templi aditus ac Vestibulum egregio ornatu ac decore compositum: Candidi enim marmoris tabulæ splédidum quid gratiosumque effulgent, eiusmodi scilicet vt totum conspectű complectentes, ipsarum inter se sitű, extremorumque juncturam, leni, pla-

τείας πυκνώσας τὰ ὅρια ἢ πλουτῶν, καὶ ποιῶν εὐδαίμονας τὸ ὑπήκοον. δίδαξον ἡμᾶς, πρὸς σὲ τὸν κοινὸν τῆς οἰκουμένης ἀφορῶντας ὀφθαλμόν, ἐπὶ τίνι τούτων ἡμᾶς συνεκάλεσας; ἢ σιγᾷς μὲν αὐτὸς ἐπιεικείας τρόπῳ, καὶ τῷ μὴ βούλεσθαί σε τὰ σὰ ἡμῖν διηγεῖσθαι κατορθώματα, οἷς ἀνάγκη τοὺς ἐπαίνους συνυφαίνεσθαι· ἐμὲ δὲ παρέχεις ὑπηχῆσαι τῷ λόγῳ τοῖς σοῖς ἔργοις ἐμπνεόμενον, τοῦ παρόντος συλλόγου τὸ αἴτιον.

Ἄλλη τοιγαροῦν, ὦ φίλοι, τελετὴ, καὶ ἄλλο μυστήριον σήμερον. ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται σήμερον, καὶ τῆς Θεομήτορος εἴπερ ἄλλο τι τῶν ἐγκοσμίων ἐπάξιον οἰκητήριον. ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται σήμερον, βασιλικῆς μεγαλοπρεπείας ἔργον ὡς ἀληθῶς πολυύμνητον. ναὸς ἐν μέσοις αὐτοῖς ἀνακτόροις, ἀνάκτορον ἄλλο θεῖον καὶ σεβάσμιον ἀνιστάμενος, καὶ τῇ πρὸς αὐτὸ παραβολῇ καὶ συγκρίσει, ἰδιωτικὰς οἰκίας ἀποφαίνων τὰ ἀνάκτορα· μᾶλλον δὲ καὶ τῇ ἐνούσῃ λαμπρότητι καὶ ταῦτα περιαστράπτων καὶ φαιδρύνων, καὶ πολὺ παρασκευάζων τοῦ προτέρου κόσμου τιμιώτερα. εἴποις ἂν εἰς αὐτὸν ἰδὼν, οὐκ ἀνθρωπίνης χειρὸς ἔργον, ἀλλὰ θείαν τινὰ καὶ ὑπὲρ ἡμᾶς δύναμιν τὸ κάλλος αὐτῷ ἐπιμορφώσασθαι. προπύλαια μὲν γὰρ τῷ ναῷ περικαλλῆ διεσκεύασται· καὶ γὰρ μαρμάρων διαλεύκων πλάκες λαμπρόν τι καὶ χάριεν ἐπαστίλβουσι, ὅλην ἐναπολαβοῦσαι τὴν πρόσοψιν, καὶ τὴν πρὸς ἄλληλα θέσιν, καὶ τὴν τῶν περάτων συνάφειαν τῷ ὁμαλῷ καὶ λείῳ, καὶ τῷ προσηρμόσθαι λίαν ἀποκρύψασαι, εἰς ἑνὸς λίθου

συνέχουσαν γραμμαῖς εὐθείαις ὥσπερ ἐπιγεγραμμένη, θαῦμα καινὸν ὁρᾶσθαι καὶ ἥδιστον, τῶν τὴν ὁρώντων φαντασίαν ὑπάγουσιν. ἀλλ' οὖν τὰς ὄψεις συνέχουσι, καὶ πρὸς ἑαυτὰς ἐπιστρέφουσι, καὶ ἐθέλειν ποιοῦσι τὸν θεατὴν μεταχωρῆσαι πρὸς τὰ ἔνδοθεν· ἀλλ' ἐν αὐτῷ τῷ προτεμενίσματι τοῦ καλοῦ θεάματος ὁ προσιὼν ἐμπεπλασμένος, καὶ τοῖς ὁρωμένοις ἐρείδων τὰ ὄμματα, ὥσπερ τις ἐρριζωμένος τῷ θαύματι ἕστηκεν. Ὀρφεῖ μὲν οἱ μῦθοι τῷ Θρᾳκὶ κιθάραν κροτοῦσι, κινοῦσι τοῖς φθόγγοις τὰ ἄψυχα. εἰ δὲ καὶ ἡμῖν ἐξῆν ἐς μύθους ἐπαίρειν καὶ φοβερὰν ποιεῖν τὴν ἀλήθειαν, εἴποι ἄν τις, τοὺς προσιόντας τῷ προτεμενίσματι, εἰς φυτῶν καὶ δενδρικῶν φύσιν τῷ θαύματι μεταβάλλεσθαι· οὕτως ἅπαξ τις ἰδὼν δυσαποσπάστως κατέχεται.

Ἐπειδὰν δέ τις ἐκεῖθεν μόλις ἀποσπασθεὶς εἰς αὐτὸ παρακύψῃ τὸ τέμενος, ἡλίκης καὶ ὅσης οὗτος χαρᾶς τε ἅμα καὶ ταραχῆς καὶ θαύματος ἐμπίπλαται. ὡς εἰς αὐτὸν γὰρ τὸν οὐρανὸν ἐπιπροσθοῦντος μηδαμόθεν ἐπιβεβηκὼς, καὶ τοῖς πολυμόρφοις καὶ πανταχόθεν ὑποφαινομένοις κάλλεσιν, ὡς ἄστροις, περιλαμπόμενος, ὅλος ἐκπεπληγμένος γίνεται. δοκεῖ δὲ λοιπὸν καὶ τι ἄλλα ἐν ἐκστάσει εἶναι, καὶ αὐτὸ περιδονεῖσθαι τὸ τέμενος. τῶν γὰρ οἰκείαις καὶ παντοδαπαῖς περιστροφαῖς, καὶ συνεχέσι κινήσεσιν· ἃ πάντως πάσχειν τὸν θεατὴν ἡ πανταχόθεν ποικιλία βιάζεται τοῦ θεάματος, εἰς αὐτὸ τὸ ὁρώμενον τὸ οἰκεῖον φαντάζεται πάθημα.

Ἀλλὰ γὰρ χρυσός τε καὶ ἄργυρος τὰ πλεῖστα τοῦ ναοῦ διειλήφασιν· ὁ μὲν ψηφῖσιν ὑπαλειφόμενος· ὁ δὲ

nâ, ſubtilique admodum commiſſurâ obtegant: adeò vt lapis vnus lineis rectis velut inſcriptus (res miraculo noua!) videatur, ſuauiſſiméque intuentium oculos capiant: indeque deuincientes, ac in ſe conuertentes, ſpectantem vetant, ne ad ea tranſire velit, quæ intus radiant: ſed in ipſo Templi veſtibulo, mox adiens præclaro exſuſcitatus ſpectaculo, viſiſq; figens oculum, velut radicibus fixus admiratione hæret. Orphæo Thraci fabulæ lyram aſſignant, eâ pulſandi vi, vt res ipſas inanimes ſonis moueat. Quòd ſi etiam nobis in fabulas veritatem efferre, atque figmento tremendam reddere fas eſſet, dicat aliquis, qui ſacræ Ædis veſtibulum adeant, in plantarum arborumque naturam, miraculo defigente tranſire. Sic qui ſemel conjecit oculos ægrè auellitur, ac ſpectaculo tenetur.

Vbi autem quis vix inde auulſus in ipſum delubrum proſpexerit, quanto qualique gaudio ſimul, & turbatione & admiratione impletur? Tanquam enim in ipſum cœlum nullo vſquam obſtante conſcenderit, multiformibuſque ac vndequaque lucidis pulchritudinibus aſtrorum in morem colluſtratus, in ſtuporem totus agitur: videt urque iam inde emotæ mentis; ipſumque illi delubrum circumgyrare putatur. Quòd enim ſpectator ſuis ipſe, omnimodiſque agitationibus ac continuis motibus circunuerſetur; quod vt illi omnino neceſſarioque accidat, miraculi vndique incurrens varietas facit; in re ipſâ quam oculis vſurpat, ſuam ipſe affectionem cogitat.

Cæterum aurum argentumque pleraque ſibi templi loca vendicant. Alterum, teſſellati operis lapillis

oblitum, alterum in tabulas laminasque diductum formatumque: atq; aliud aliudque aliis partibus adhibitum. Hîc columnarum capitella ornata; illic fasciæ ac subligacula aurea: alibi aurum catenis implexum, aut quod auro maius ad admirationem (sacra nimirum Mensa) compositum existat. Loci Altaris portulæ & columellæ argenteæ cum peristyliis, ipsumque coni figurâ diuinæque mensæ impositum tectum, cum fulcientibus illi subiectis columellis cameraque. Varij coloris marmora, quæcunque vel auro non obtecta, vel non intercepta argento, artis opus stupendum, miréque oblectans, reliquis templi partibus ornatum præstant. Pauimenti conspectus, in animalium formas, aliarumque figurarum species multiformi tessellati operis concinnatione efformatus, admirabilem quandam artificis sapientiam exhibet; tantam nimirum, vt verè pueros figmentorumque artifices, Phidias illos, Parasiosque, & Praxiteles, & Zeuxidas arte iis subtiliore coarguat. Democritus, puto, subtili pauimenti opere conspecto, atque hinc conjecturam ducens, haud procul abesse dixisset, quin suas ob oculos versantes atomos inuenisset: sic cuncta plena miraculo. Vnum verò duntaxat mihi peccasse videtur delubri Architectus, quòd in vnum eundemque locum pulchris omnibus congestis, videntem clarè spectaculo frui non finit, aliis subinde aliò trahentibus, vicissimque auellentibus, nec sinentibus quantum quis velit, eius quod videt aspectu satiari.

Quod me verò præteriit, primum-

εἰς πλάκας ἀποξεόμενος καὶ τυπούμενος, ἄλλος ἄλλοις ἐπιπλαττόμενος μέρεσιν. ἐνταῦθα ἐπικοσμούμενα κιονόκρανα. ἐνταῦθα δὲ διὰ χρυσῶν περιζώματα· ἀλλαχόθι δὲ ταῖς ἁλύσεσιν ἐπιπλεκόμενος χρυσὸς I, I. ἢ χρυσοῦ τι θαυμασιώτερον, ἡ θεία τράπεζα, σύνθημα. ἄργυρος δὲ περὶ τὰς πυλίδας καὶ στυλίδας τοῦ θυσιαστηρίου, σὺν τοῖς περιστώοις· καὶ αὐτὸς ὁ κωνοειδὴς καὶ τῇ θείᾳ τραπέζῃ ἐπικείμενος σὺν τοῖς ὑπερείδουσι στυλίσκοις καὶ ὑπορόφοις ὄροφος, καὶ μαρμάρων δὲ πολυχρώμων ὅσα μὴ χρυσὸς ἐπιδεδραμὼν, ἢ ἄργυρος περιέλαβεν, ἀμήχανόν τι καὶ τερπνὸν φιλοτέχνημα, τὰ λοιπὰ τοῦ ναοῦ διεκόσμησεν. ἡ δὲ τοῦ ἐδάφους θέα, εἰς ζώων μορφὰς καὶ σχημάτων ἄλλας ἰδέας τοῖς πολυμόρφοις ψηφῖσι διαμορφωθεῖσα, θαυμαστήν τινα τοῦ τεχνίτου τὴν σοφίαν παρεστήσατο. παῖδας ὡς ἀληθῶς καὶ πλασμάτων πλάστας τοὺς Φειδίας ἐκείνους καὶ Παρασίους καὶ Πραξιτέλεις καὶ Ζεύξιδας ἐν τῇ τέχνῃ ἀπελέγξασα. Δημόκριτος εἶπεν, ἂν οἶμαι, τὴν τοῦ ἐδάφους λεπτουργίαν ἐνιδὼν, καὶ ταύτῃ τεκμηρίῳ χρώμενος, μὴ ἂν πόρρω εἶναι τὸ μὴ οὐχὶ καὶ τὰς ἀτόμους αὐτοῦ καὶ ὑπ' ὄψιν πεπτωκυίας ἀνευρῆσθαι: οὕτω πάντα πεπλήρωται θαύματος. ἐν δέ μοι δοκεῖ μόνον ὁ τοῦ τεμένους ἀρχιτέκτων διημαρτηκέναι, ὅτι γὰρ εἰς ἕνα καὶ τὸν αὐτὸν χῶρον ἅμα πάντα συλλέξας τὰ κάλλη, οὐκ ἐᾷ τὸν θεατὴν καθαρῶς ἐντρυφῆσαι τοῦ θεάματος, ἄλλων ἀπ' ἄλλων ἑλκόντων τε καὶ μετασπώντων· καὶ μὴ παραχωρούντων ὅσον τις ἐθέλει τοῦ ὁρωμένου κορέννυσθαι.

Ὁ δέ με παρέδραμε, καὶ πρῶ-

τῶν ῥηθησομένων ἴδοι. ἀλλὰ γὰρ οὐδ' ἐν τοῖς λόγοις τῶν τιμώντων τὸ θαῦμα παρέχει τῷ λέγοντι καθαρῶς τὸ ἴδιον τελεῖν ἔργον· καὶ δὴ νῦν εἰρήσεται. ἐπ' αὐτῆς γὰρ τῆς ὀροφῆς, ἀνδρείκελος εἰκὼν μορφὴν φέρουσα τοῦ Χριστοῦ πολυανθέσι ψηφῖσιν ἐγκεχάρακται. εἴποις ἂν αὐτὸν τὴν γῆν ἐφορᾶν, καὶ τὴν περὶ ταύτης διανοεῖσθαι διακόσμησίν τε καὶ κυβέρνησιν· οὕτως ἀκριβῶς ὁ γραφεὺς καὶ τοῖς σχήμασι τῆς τοῦ δημιουργοῦ περὶ ἡμᾶς κηδεμονίας ἐπί πως γέγονεν ἐντυπώσασθαι. τοῖς δὲ περὶ αὐτῇ ὀροφῇ τοῦ ἡμισφαιρίου τμήμασιν ἐγκύκλοις, πλῆθος ἀγγέλων τῷ κοινῷ Δεσπότῃ δορυφορούντων διαμεμόρφωνται. ἡ δὲ ἀπὸ τοῦ θυσιαστηρίου ἀνεγηγερμένη ἀψίς, τῇ μορφῇ τῆς Παρθένου περιαστράπτεται, τὰς ἀχράντους χεῖρας ὑπὲρ ἡμῶν ἐξαπλώσης, καὶ [illegible] τῷ βασιλεῖ τὴν σωτηρίαν, καὶ κατ' ἐχθρῶν ἀνδραγαθήματα. χορὸς δὲ Ἀποστόλων καὶ Μαρτύρων· ναὶ δὴ καὶ Προφητῶν καὶ Πατριαρχῶν, ὅλον πληροῦντες ταῖς εἰκόσι τὸ τέμενος ἐξωραΐζουσιν· ὧν ὁ μὲν καὶ σιγῶν, δι' ὧν πάλαι ἀνεφθέγξατο βοᾷ, Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. ὁ δὲ, Ὡς θαυμαστὸς ὁ τόπος οὗτος· οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ. ἐπιφωνεῖ δέ τις ἴσως καὶ τῶν οὐχ ἡμετέρων οὐδ' ἐγκεκριμένων, καὶ ἄκων ἐπιθειάζων τὰ ἡμέτερα. Ὡς καλοί σου οἱ οἶκοι Ἰακώβ, αἱ σκηναί σου Ἰσραήλ· ὡσεὶ παράδεισοι ἐπὶ ποταμοῖς, καὶ ὡς αἱ σκηναὶ ἃς ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

Πάλαι μὲν οὖν τῷ θεόπτῃ Μωσῇ θείῳ προστάγματι σκηνὴ κατεσκεύασται· θυσίας τε θύειν Θεῷ ἁμαρ-

que dicendum fuit. Verùm ne inter orandum quidem, Templi miraculum suas orantem clarè partes exequi finit: ac sanè modò dicturus sum. In ipsâ namque superiori fornice, virilis imago Christi formam præferens lapillorum vario flore depicta enitescit. Dixeris terram inspectare, eiusque ornatum ac gubernationem mente agitare: sic accuratè pictor, gestu & habitu, coloribusque Creatoris erga nos prouidentiam curamque, Numine propensiùs afflante, effinxit. Hemisphærij circa tholum insectis circulis, Angelorum communem stipantium Dominum depicta multitudo: quæ verò ab altaris loco apsis assurgit, Virginis forma splendescit, nostri causâ expansis intemeratis manibus, ac quæ salutem Imperatori præstet, roburque bella fortiter gerenda illi concilier. Apostolorum chorus atque Martyrum; sanè etiam Prophetarum ac Patriarcharum, egregium templo ornatum, quod pictis imaginibus impleant, afferunt: Horum vnus quis, tametsi silet, quibus olim locutus est, clamat, *Quàm dilecta tabernacula tua, Domine Virtutum! concupiscit & deficit anima mea in atria Domini.* Alter verò, *Quàm mirabilis est locus iste! non est hoc, nisi domus Dei.* Succinit autem fortè alius, qui nec ipse ex nostris, aut probatis sit, inuitusque nostra deprædicat, *Quàm pulchra domus tua, Iacob; tabernacula tua, Israil! Tanquam paradisi super flumina, & sicut tabernacula quæ fixit Deus, & non homo.*

Christi Imago in summâ fornice.

Angelorũ illi adstans satellitium.

Sanctæ Mariæ, Sanctorumque aliorum Imagines.

Psa.83. v.2.

Gen. 28. v. 17.

Num.24. v.5.

Olim quidem Dei conspectori Mosi, Dei ipsius imperio tabernaculum excitatum est, ad hostias Deo immo-

landas, ac populi delicta expianda. Sed & Salomoni Regi, Templum deinde Hieroſolymis conditum eſt; opus ſcilicet aſpectu delectabile, ac eiuſmodi, vt quicquid eius generis vnquam extiterat, pulchritudine, magnitudine, ſumptuoſitate longè obſcuraret. Enimverò quantum fortaſſe vmbra & figura à veritate rebuſque ipſis decedit, tantum illa à Templo, quod nunc fidelis Magnuſque Imperator noſter extruxit: non eo duntaxat nomine, quòd iſtud gratiæ ac Spiritus eſt, illa legis atque literæ; ſed quòd etiam pulchritudine ac reliquâ artis concinnitate elegantiáque præ illis meritò primas obtinet.

Ecquis verò breui adeo tempore celeberrimi Templi miracula tentet oratione percurrere; cùm nec ipſum viſum, diu multumque legendo, quãquam ſenſus reliquos celeriori motu longè exſuperat, hæc ſatis percipere poſſe ac comprehendere prorſus liqueat. Nihil itaque minore gaudio afficior, quanquam victa oratio eſt, quàm ſi illa ad iuſtæ modum narrationis, rem ſatis executa eſſet. Non enim hoc animo conſtitutum, vt dicendi vim oſtentarem, ſed vt Templum pulcherrimum eſſe ac venuſtiſſimum, longéque deſcriptionis leges vincere comprobarem.

Ad Te enimvero, qui conuentus auctor exiſtas, ſeſe orationis curſus verſo tramite dirigat. Gaude itaque, Imperator Deo gratiſſime ac religioſiſſime, & renouare, vegetâ tum
Psal. 102. v. 5. corpore, tum operibus bonis iuuentute; qui celeberrimi Templi tuæque ſapientiæ ac manus, operum Encæ-
Psal. 44. v. 5. nia agas. *Intende, proſperè procede & regna: propter veritatem & manſuetudinem & iuſtitiam.* Deducit enim,

τίας ἐξιλάσασθαι. καὶ τῷ Σολομῶντι τῷ βασιλεῖ ὁ ἐν Ἱεροσολύμοις ναὸς ὕστερον τερπνόν τι χρῆμα, καὶ πάντας τοὺς ἔμπροσθεν τῷ κάλλει καὶ μεγέθει, καὶ τῇ πολυτελείᾳ ἀποκρυψάμενος. ἀλλ' ὅσον σκιὰ καὶ τύπος ἀληθείας καὶ πραγμάτων αὐτῶν ὑποβέβηκε, τοσοῦτον ἐκεῖνα τοῦ νῦν ἐξοικοδομηθέντος ναοῦ τῷ πιστῷ καὶ μεγάλῳ βασιλεῖ ἡμῶν· οὐχ ὅτι ὁ μὲν τῆς χάριτος καὶ τοῦ πνεύματος· τὰ δὲ τοῦ νόμου καὶ τοῦ γράμματος, ἀλλ' ὅτι καὶ τῷ κάλλει, καὶ τῇ ἄλλῃ τεχνουργίᾳ καὶ δεξιότητι, τὰ δεύτερα φέρουσι.

Καὶ τί ἄν τις ἐν οὕτω βραχεῖ τὰ τοῦ περιωνύμου τεμένους λόγῳ πειρᾶται περιέρχεσθαι θαύματα· ὅπου γε οὐδ' αὐτὴ ἡ ὄψις οὐδ' ἐπὶ συχνὸν χρόνον, καίτοι τὰς ἄλλας αἰσθήσεις τῷ τάχει κατόπιν ἄγουσα, ἀναλαβέσθαι ταῦτα οὐδαμῶς ἐλέγχεται κατισχύουσα. χαίρω γοῦν ἔγω γε οὐδὲν ἧττον, εἰ καὶ τὸ ἔλαττον ὁ λόγος ἀπηνέγκατο, ἢ εἰ καὶ πρὸς αὐτὸ τὸ μέτρον τῆς ἱκανῶς ἐχούσης ἀφίκετο διηγήσεως. οὐ γὰρ τῆς ἐν λόγῳ δυνάμεως ἐπίδειξιν, ἀλλὰ τὸ κάλλιστόν τε εἶναι τὸν ναὸν καὶ ὡραιότατον, καὶ νικῶντα νόμους ἐκφράσεως, παραστῆσαι προῄρημαι.


Ἀλλά μοι πρὸς σὲ ὁ τοῦ λόγου δρόμος, τὸν τοῦ συλλόγου αἴτιον ἐπιστρεφόμενος ἰθυνέσθω. χαῖρε τοιγαροῦν ὦ βασιλεῦ, θεοσεβέστατε καὶ θεοφιλέστατε, καὶ ἀνακαίνιζε τὴν κατά τε σῶμα καὶ ψυχὴν ἐπ' ἔργοις ἀγαθοῖς ἀκμάζων νεότητα· τοῦ τε περιωνύμου ναοῦ, καὶ τῆς σῆς σοφίας ἔργων καὶ χειρὸς ἑορτάζων τὰ ἐγκαίνια. ἔντεινε καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ

δικαιοσύνης. ὁ δηλαδὴ γὰρ, ὡς ἔνεστιν ἰδεῖν ἐναργῶς, καὶ ὁδηγήσει σε ἡ τοῦ ὑψίστου δεξιὰ τοῦ κτίσαντός σε, καὶ ἐξ αὐτῶν σπαργάνων εἰς βασιλέα τοῦ οἰκείου καὶ περιουσίου λαοῦ χρίσαντος. συνευφραίνου καὶ συνανακαινίζου καὶ αὐτὸς, τῶν ὅσους ἥλιος ἐπεῖδε Καισάρων τὸ ἐγκαλλώπισμα, σοφίᾳ τε καὶ συνέσει τοὺς ἔμπροσθεν παρευδοκιμῶν· καὶ τῇ θείᾳ σου ψήφῳ, ἀλλὰ μὴ σπουδαρχήσαντι, μηδ' ἀνθρωπίναις περιδρομαῖς τὴν τηλικαύτην ἀρχὴν ἀναδέξασθαι. συνευφραίνου τοίνυν καὶ συνανακαινίζου τῷ μέτοχόν σε προσειληφότι καὶ κοινωνὸν τῆς βασιλείας ἐπὶ κοινῇ τε συντελείᾳ τῶν ἀρχομένων, καὶ ἀξίως τῆς εἰς αὐτὸν εὐνοίας καὶ ἀψευδεστάτης ἀγαπήσεως. διὰ γὰρ τῆς ὑμετέρας δυάδος ἡ Τριὰς εὐσεβῶς λατρευομένη τε καὶ προσκυνουμένη, τὴν ἑαυτῆς πρόνοιαν εἰς πάντας ἐξαπλοῦσα τε καὶ διαπορθμεύουσα, σοφῶς πηδαλιουχεῖ καὶ διακυβερνᾷ τὸ ὑπήκοον.

